Βεβαίως ὁ εὐγενὴς ἐκεῖνος ἄναξ, τοῦ μοιραίου τῆς ἑαυτοῦ ζωῆς τέρματος ἐγγίζοντος προαισθανόμενος, τὸ ὕστατον τρανὸν τῶν πρὸς τὸν φίλον αὐτοῦ ἰατρὸν εὐνόων αἰσθημάτων δεῖγμα παρασχεῖν ἠβουλήθη ἀνενδοίαστον, καὶ τὸν αὐτοῦ υἱέα, ὃν βρέφος ὁ πατὴρ αὐτοῦ ἐγνώρισε καὶ ἐνηγκαλίσθη, ἄνδρα ἤδη γενόμενον, μάρτυν αὐτόπτην καὶ αὐτήκοον τῆς πρὸς τὸν πατέρα ὑψηλῆς αὐτοῦ εὐνοίας καὶ φιλίας τῆς ἀναντιρρήτου καταστῆσαι, τὴν ξυνέντευξιν ταύτην ἐπίτηδες προκαλέσας.

Τὴν δ' ἐπιοῦσαν, Κυριακήν, μόνος μεταξὺ τῶν πρέσβεων τῶν μεγάλων ξυμμάχων Δυνάμεων ὁ τῆς Γαλλίας, ἐπί τινας στιγμὰς ἰδεῖν καὶ προσκυνῆσαι τὸν Βασιλέα ἠξιώθη. Τὴν γὰρ τῆς Δευτέρας πρὸς τὴν Τρίτην νύκτα τὴν τοῦ Ἰουνίου μεσοῦντος τῆς 13 τοῦ 1861 ἀποφράδα ἡμέραν παρέδοτο τὸ πνεῦμα τὸ ὕστατον ὁ γενναῖος καὶ ἀγαθὸς ἐκεῖνος Βασιλεύς, εἰς τὰς τῆς αἰωνιότητος ἀμεταβλήτους μονὰς ἀποπτάς, ἅπασι τοῖς ἐκ τοῦ ξύνεγγυς αὐτὸν γνοῦσι τὸν ἥπιον καὶ φιλόφρονα αὐτοῦ χαρακτῆρα, τοῦ τὸ ὑπήκοον ἅπαν αὐτοῦ, ἄνευ διακρίσεως οὐδεμιᾶς φυλῆς, ἐθνότητος καὶ θρησκείας, εἰλικρινῶς καὶ ἀδεισιδαιμόνως ἀγαπήσαντος καὶ τὴν ἠθικὴν καὶ πολιτικὴν αὐτοῦ πρόοδον ὅλαις δυνάμεσιν ἐπισπέρξαντος, καὶ μάρτυρος τῆς πρὸς τὴν πάτραν αὐτοῦ στοργῆς γενομένης τῆς αὐτοῦ γενναίας καὶ εὐγενοῦς ψυχῆς, ἀμύθητον ἐν ταῖς καρδίαις αὐτῶν καὶ ἀτελεύτητον πένθος ἐγκαταλιπών.

Ὅτι δὲ ὁ Κωνσταντῖνος λίαν εὐερέθιστος καὶ εὐδάκρυτος ἦν, κἀγὼ τούτου πεῖραν πολλάκις ἔλαβον, μάλιστα δὲ ἅπαξ, τοῦτο δὲ νῦν πρὸς ἀπόδειξιν ἀφηγοῦμαι. Μεταξὺ τῶν τῆς ἐσωτερικῆς κλινικῆς καθηγητῶν τῶν ἀλληλοδιαδόχως ἀπό τινος χρόνου τὴν ἕδραν ταύτην κατασχόντων ἦν καί τις ἐκ Τεργέστης, ἐκγερμανισθείς, ἐκ Γαλλίας τὸ γένος ἕλκων, Vallon τοὔνομα, ὅστις ἐπιρροίᾳ αὐστριακῇ, μετὰ τὸν καθηγητὴν τῆς ἐσωτερικῆς κλινικῆς Rigler εἰς τὴν πατρίδα αὐτοῦ, τὴν τῆς Στυρίας πρωτεύουσαν Grats ἢ Graets, ἐν ᾗ δευτερεύουσά τις ἰατροχειρουργικὴ ὑπάρχει σχολή, ἐπανακάμψαντα, ὑπὸ τῆς τῶν καθηγητῶν συγκλήτου ἐπισήμως προσεκλήθη, τῆς ἐσωτερικῆς κλινικῆς καθηγητὴς ὀνομασθείς. Οὗτος ἔγγαμος ὢν καὶ φύλασι τῶν πνευμόνων πρὸ χρόνων δεινοπαθῶν, καὶ τέλος ῥθισιῶν, μετὰ δύω ἐτῶν καθηγεσίαν, ὡς ἐκ τοῦ πάθους ἐπίπονον τὸ τῆς ζωῆς αὐτοῦ

οἰκτρῶς ἐν Ῥόδῳ, ὅποι πρὸς τὴν ἐκ τῆς ἀλλαγῆς τοῦ ἀέρος ἐλπισθεῖσαν τῆς αὐτοῦ ὑγείης βελτίωσιν ἀπῆρεν, ἐξεμέτρησε νῆμα. Τῆς δὲ συζύγου ἔπειτα ἐνταῦθα ἐπανελθούσης, πρὸς τὸ σιτηρεσίου τινὸς ἢ ἄπαξ καὶ διὰ παντὸς χρηματικοῦ τινος ποσοῦ ἀπολαῦσαι, ἔγωγε μετὰ τοῦ Κωνσταντίνου, ἐν τῇ τῆς Περαίας λεωφόρῳ, τυχαίως περιδιαβάζων, καὶ διὰ τῆς οἰκίας τῆς χήρας διαβάς, προὔτεινα τῷ συνδιαβάτῃ τὴν θύραν κροῦσαι, καὶ τὴν χήραν τοῦ συναδέλφου ἐπισκεψαμένους, παρηγορῆσαι ὡς εἰκὸς ἐπὶ τῇ ξυμβάσῃ αὐτῇ ἀνηκέστῳ ξυμφορᾷ. Τὴν ἐμὴν πρότασιν δυσχερῶς δεξάμενον, ὡς ἐπιρρεπῆ ἑαυτὸν εἰς τὸ ξυγκλαίειν μᾶλλον ἢ τὸ παρηγορεῖν γινώσκοντα, ἑκόντα τ' ἀέκοντα συμπαρέλαβον τὸν φίλον, τὴν εἰς τὰ δώματα τῆς δεσποίνης φέρουσαν κλίμακα ξυναναβησόμενος.

Σκυθρωπῷ δὲ τῷ προσώπῳ καὶ κατηρεῖ τῇ στάσει τὴν δέσποιναν προσαγορεύσας, ὡς εἰκός, ἅμα τῆς χήρας δακρυρροούσης ἤσθετο ἑκών τ' ἀέκων καὶ ὀλολύζειν ἤρξατο τοσοῦτον ὥστε τὴν χήραν ἡμᾶς παραμυθῆσαι μᾶλλον ἢ ὑφ' ἡμῶν παραμυθηθῆναι ἀνάγκη ἐγένετο.

Ὁ δὲ τοσοῦτον εὐερέθιστος καὶ τῶν δακρύων αὐτοῦ ἄσωτος παροχεύς, ἐν ταῖς ἐγχειρίσεσιν, ὁ εὐτολμώτατος, ἀταραχώτατος, καὶ σκληρότατος χειριστής· ἀπεδεικνύετο, τοσοῦτον ὥστε, ἐγχειρίσεως τοιαύτης προκειμένης, ὁ γλυκὺς καὶ ἥπιος τοῖς ἐγχειριζομένοις τὴν γλῶσσαν, βλοσυρὸς τὸ βλέμμα καὶ ἄγριος τοὺς τοῦ προσώπου χαρακτῆρας ἀπέβαινε, τὴν ἀταραξίαν τῆς ψυχῆς καὶ τὸ ἄτρομον καὶ εὐσταθὲς τοῦ μεχρι ἀγκῶνός πολλάκις αἱμοφύρτου βραχίονος καὶ τῆς χειρὸς οὐδέποτε ἀπολλύς· φοβερὸς δὲ ἐγένετό μοι ἅπαξ ἰδεῖν, καὶ θαυμάσιος τὴν κατὰ τοὺς Γάλλους παρουσίαν τοῦ πνεύματος, ὅτε ποτὲ ἐγχειρίσει τινὶ δυσχερεστάτῃ παραστάς, εἶδον αὐτὸν τὴν καρωτίδα ἀρτηρίαν, ἐν δυσκόλῳ τινὶ ἐγχονδρώματος ἐγχειρίσει ὡς πλείστας τὰς ἀνεξελίκτους διακλαδώσεις ἐν τοῖς περικυκλοῦσι τὴν τῆς παρωτίδος λίαν ἐπικίνδυνον χώραν ἀγγείοις ἔχοντος, ῥέμα τὸν νοσηρὸν ἱστὸν ἐκκόπτοντα τὸν ἐπιτήδειον καὶ τολμηρὸν χειροῦργον ἀτρομήτως, τρώσαντα μέν, οὐ πτοηθέντα δέ, ἀλλ' ἐν ἀκαρεῖ, τήν, κρουνοῦ ἀναπηδῶντος δίκην, τὸ ἐρυθρὸν ζωογόνον νᾶμα ἑξακοντίζουσαν ἀρτηρίαν, τρομερὸν θέαμα τῷ ἀπείρῳ καὶ δειλῷ ἐγχειριστῇ ἰδεῖν, ταχείαιν ταῖν χεροῖν ῥέμα μὲν ὡς τάχιστα δὲ ἐπιδέσαντα, καὶ τοῦ ζωογόνου αἵματος τὴν ῥαγδαίαν ἐξακόντισιν ἐν ἀκαρεῖ στήσαντα, καὶ τὸν ἀσθενῆ λειποθυμοῦντα θαυμασίως σώσαντα. Τοιοῦτος ἦν, ἄνδρες ἰατροί, ὁ τὴν καρδίην εὐμαρῶς μὲν καμπτόμενος καὶ κηλούμενος, δακρυρροῶν καὶ ὀλοφυρόμενος παιδὸς ἢ γυναικὸς δίκην, ὅτε ἠθικῆς ἥπτετό τινος πληγῆς, τῶν φυσικῶν δὲ τραυμάτων καὶ αἱματηρῶν ἐγχειρίσεων ὅλως ἀνώτερος γενόμενος καὶ καρτερῶν ἀτρόμητος, προκειμένου ἄνθρωπον τῶν τοῦ θανάτου γαμψῶν ὀνύχων λυτρῶσαι, καὶ σαώτερον αὐτὸν ἑαυτοῦ ἀποδεῖξαι.

Κατὰ δὲ τὴν δευτέραν εἰς τὴν Ῥωμυλίαν αὐτοῦ περιοδείαν, τῆς πρώτης αὐτοῦ ἐρασμίας καὶ ὡραίας, εὐγενοῦς γυναικός, προώρως στερηθείς καὶ πολὺν χρόνον θρηνῶν ἕνεκα χηρεύσεως, ἐσκέψατο κατὰ τὸ τοῦ θεοῦ ῥῆμα οὐκ ἀγαθὸν εἶναι τὸν ἄνθρωπον μόνον ἐν αὐτῷ τῷ παραδείσῳ βιοῦν, δι' ὃ καὶ ἐν τῇ πατρίδι ἐξελέξατο περικαλλῆ καὶ αὐτὴν νέαν κόρην ὁμοπάτριον πρὸς γάμου κοινωνίαν, μεθ' ἧς πλέον ἢ μετὰ τῆς προτέρας εὖ βιώσας τέτταρα ἐγέννησε τέκνα, ὧν τὰ δύο θήλεα καὶ τὰ δύο ἄρρενα, ἀξιόλογον τετρακτὺν διττὴν καλῶν κἀγαθῶν παίδων ξυνωρίδα τὴν σὺν τῷ πρωτοτόκῳ υἱῷ κατὰ τὸ γῆρας αὐτοῦ τὸ λιπαρὸν καὶ ἀκμαῖον τῆς ἀληθοῦς αὐτοῦ ὑστάτης εὐδαιμονίας αἰτίαν γενομένην.

Ἀλλὰ φεῦ! τὸν ἡμέτερον Κωνσταντῖνον οὐκ ἐπέπρωτο μέχρι τέλους τοῦ βίου αὐτοῦ εὐδαίμονα σὺν τῇ εὐνετῇ καὶ τῇ δευτέρᾳ καὶ ταύτῃ οὐδαμῶς τῆς πρώτης τὴν καλλονὴν καὶ τὰ ἤθη κατωτέρᾳ ξυμβιῶσαι. Ἀλλὰ μετὰ τὸν τελευταῖον τοκετὸν νόσον μητρικὴν νοσήσασα, ἀπεβίωσεν ἡ δύστηνος νεαρὰ καὶ ἕτερον ἄλγος ἀνίατον τῷ περιλύπῳ, μέχρι τοῦ ἐσχάτου τέρματος τοῦ βίου ἀγάμῳ μείναντι, συζύγῳ καταλιποῦσα. Μετὰ τὸν δεύτερον καὶ τοῦτον μέχρι τέλους ἄγαμον γάμον ὁ Κωνσταντῖνος ὅλος τοῖς περιλημένοις αὐτοῦ τέκνοις μέχρι τῆς τούντεῦθεν ἀπαλλαγῆς αὐτοῦ φιλοστόργως ἐβίωσε ὡς πατὴρ εὐδαίμων, περὶ τῆς ἀνατροφῆς, παιδείας καὶ εὐημερίας, ὡς οὐδεὶς ἄλλος φροντίζων, καὶ ἐπὶ τοῖς καλοῖς κἀγαθοῖς τέκνοις ἐναβρυνόμενος.

Μεταξὺ δὲ τῶν ἄλλων τῶν ὑπὲρ τοῦ ἔθνους προσπαθειῶν καὶ τῶν ὑπὲρ τῆς εὐημερίας τούτου ἐργασιῶν καὶ τῶν ἐν τῷ ἀγλαῷ τῆς γυναικείας νεότητος φυτωρίῳ, τῷ τοῦ φιλογενεστάτου Κωνσταντίνου τοῦ Ζάππα, τοῦ μεγάλου τοῦ ἔθνους ἡμῶν εὐεργέτου ἐκείνου καὶ προστάτου, τῷ Ζαππείῳ, ὑπὸ τοῦ ἡμετέρου Κωνσταντίνου διαπραχθέντων μνημονευτέον, ἐπειδὴ ἀπὸ τῆς συστάσεως τοῦ τὸ ἀνώτατον τοῦτο τῆς γυναι-

κείας παιδείας ἵδρυμα διίποντος διοικητικοῦ συμβουλίου σχεδόν, πρόεδρος αὐτοῦ, βουλήσει καὶ ἐκλογῇ τοῦ εὐρυστέρνου ἱδρυτοῦ, ἀνηγορεύθη καὶ ὡς τοιοῦτος, ὅσον τὸ προβεβηκὸς γῆρας αὐτῷ ἐπέτρεψεν, ἐλειτούργησε, καθ' ἑκάστην ἐπέτειον πανήγυριν καὶ λογοδοσίαν τοῦ ἀνωτέρου τούτου γυναικείου ἐκπαιδευτικοῦ καθιδρύματος καὶ ἁρμόδιον ἐναρκτήριον λόγον ἐκφωνῶν, καὶ ἐπὶ τοῖς γιγαντιαίοις τούτου προόδοις, ὑπὸ τὴν σορὴν τῆς ἀξιολόγου διευθυντρίας κυρίας Καλλιόπης Κεχαγιᾶ διεύθυνσιν, σεμνυνόμενος.

Φέρε δὲ πρὶν ἢ τὸν λόγον καταστρέψωμεν, ἰδίᾳ ἅττα ὁ ἡμέτερος φίλος, παρ' ἡμῖν, τῷ ἔθνει, τῇ πατρίδι, τῇ ἐπιστήμῃ καὶ φιλανθρωπίᾳ δουλεύων, εἰργάσατο· καὶ πρῶτον μὲν περὶ τῶν ἐθνικῶν αὐτοῦ ὅλως ἀριλοκερδῶν καὶ ἀμίσθων λειτουργιῶν διεξίωμεν.

Ἀπὸ τοῦ 1830 μέχρι τοῦ 1879, καθ' ἡμίσειαν ὅλην ἑκατονταετηρίδα, πολλάκις ἔφορος τῆς Μεγάλης τοῦ Γένους Σχολῆς, τῶν ἐθνικῶν φιλανθρωπικῶν ἡμετέρων ἐκτὸς τοῦ Ἄστεως κειμένων Καταστημάτων, μέλος τρὶς Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου, ἐκλεγείς, ἁπασῶν τῶν κατὰ τὸ μακρὸν χρονικὸν τοῦτο διάστημα συγκροτηθεισῶν γενικῶν τε καὶ μερικῶν συνελεύσεων καὶ συνεδριάσεων δραστηρίως καὶ διασήμως μετασχών, μάλιστα σὺν τοῖς λοιποῖς τοῦ ἔθνους λογάσιν, τῇ συντάξει τῶν νῦν τὴν λαϊκὴν ἐθνικὴν διοίκησιν διεπόντων κανονισμῶν, κατὰ τὸ 1862, συνέπραξε, ἁπάσαις ταῖς κατὰ τὸ 1870 συγκροτηθείσαις γενικαῖς τῶν ἀντιπροσώπων τοῦ ὑπὸ τὸ ὀθωμανικὸν σκῆπτρον τελοῦντος ἑλληνικοῦ ἔθνους συνελεύσεσιν, ἐν τοῖς ζητήμασι τοῖς πρὸς λύσιν αὐτοῖς προταθεῖσι, πολλάκις τὸν λόγον αἰτήσας καὶ λαβὼν καὶ πρὸς ὄρελος τῆς τε Ἐκκλησίας καὶ τοῦ λαοῦ, οὗ ἄνευ Ἐκκλησία οὐκ ἂν ὑπάρξειεν, αὐτῷ χρησάμενος, ἐσαεὶ τὴν ἀγαθὴν μερίδα ἑλόμενος καὶ ὑπὲρ αὐτῆς μαχησάμενος. Πολλάκις δὲ ἐν ταῖς διαφόροις περιόδοις καὶ φάσεσι τῶν Ἐθνοσυνελεύσεων, ἐν τοῖς Πατριαρχείοις, τὴν φίλην ἐξεπροσώπευσεν αὐτοῦ πατρίδα, τὴν Ἀδριανούπολιν. Ἐν δὲ τῷ ἀκανθώδει βουλγαρικῷ ζητήματι, ἐξ οὗ τοσαῦτα καὶ τοιαῦτα ἀνερύησαν ἀνήκεστα δεινὰ τῷ τε Κράτει καὶ τῷ Ἕλληνι λαῷ, πολλὰ ἐμόχθησεν ὅπως τὸ κακὸν ἐγκαίρως προληφθῇ, ἀλλ' εἰς μάτην.

Τὸν δὲ πρὸς τὸ ἔθνος καὶ τὴν πατρίδα ζῆλον αὐτοῦ τὸν ἔσβεστον, καὶ τὰς ὑπὲρ τῆς εὐνομίας καὶ εὐημερίας αὐτῶν προσπαθείας, διὰ τῆς ἀπὸ τῶν κακῶς ἐχόντων ἐπανορθώσεως, ταῦτα οἱ πλεῖστοι, οἱ ἐν τοῖς πρακτικοῖς περιεχόμενοι εὔγλωττοι αὐτοῦ λόγοι, διατρανοῦσι.

Καὶ ἡμέρας μέν, δὶς τῆς ἑβδομάδος, μεθ' ὅλας αὐτοῦ τὰς ἰατρικὰς ἐκτεταμένας μέχρι τῶν ἐσχάτων ὁρίων τῆς ἡμετέρας μεγαλοπόλεως ἐπισκέψεις, περὶ τὴν ἐν τῇ ἰατρικῇ σχολῇ ἀνένδοτον πεντηκονταετῆ καθηγεσίαν, νυκτὸς δὲ ἰδίᾳ περὶ τὴν τῆς ἐν Σταυροδρομίῳ Ἐκκλησίας τῶν Εἰσοδίων διευθέτησιν, καὶ τῶν αὐτόθι ἐθνικῶν Καταστημάτων, σχολῶν τε καὶ τὴν τῶν νόθων τροφήν, καὶ τὴν ἐκ τῆς ἀπωλείας ἀπαλλαγήν, ξὺν τοῖς ἄλλοις ὁμόφροσι καὶ γενναίοις φιλανθρώποις καὶ φιλογενέσι ἀνδράσι, ζήλῳ ἀκαμάτῳ καὶ ἐνδελεχεῖ τῇ μερίμνῃ ἠσχολεῖτο ὁ μακάριος ἐκεῖνος ἀνήρ. Τὸ δὲ θέρος, κατὰ τὸ Νεοχώριον τοῦ Βοσπόρου πρότερον ἀγραυλῶν, καὶ τελευταῖον μονίμως ἐν τῷ ἰδιοκτήτῳ παραθαλασσίῳ αὐτοῦ τερπνῷ οἰκῶν οἴκῳ, οὐκ ὤκνει πρὸς τὸ καὶ τὰ τῆς τοῦ Ἁγίου Νικολάου ἐκεῖσε ἐκκλησίας ἐπὶ τὸ βέλτιον ἁρμολογεῖν καὶ διατίθεσθαι ὡς μέλος τῆς ἐπιτροπῆς αὐτῆς.

Μέχρι δὲ τῆς ἀποβιώσεως τοῦ ἀνδρὸς τῶν πραχθέντων καὶ ξυμβάντων, εἴτε αἰσίων εἴτε ἀπαισίων, ὅσ' ἂν μοι γνωστὰ εἶεν, πρὶν ἢ ἂν τὸν λόγον καταστρέψαιμι, μὴ παραλιπεῖν οὐκ ἄτοπον ἂν εἴη. Διὸ ξύγγνωτέ μοι, ὅσ' ἅττ' ἀπὸ μνήμης μοι πρόχειρα ὑμῖν ἐν συντόμῳ διεξελθεῖν καίπερ τῆς ἀνοχῆς ὑμῶν πλέον τοῦ δέοντος καταχρᾶσθαί τισι, τοῖς μᾶλλον νυστάζουσι, τάχα δοκῶν.

Σουλτὰν Ἀπτοὺλ Μετζὶτ ὁ Γαζῆς[1] ὁ φιλόλαός τε καὶ ἥπιος καὶ γαληνὸς ἐκεῖνος Αὐτοκράτωρ, ὑπὸ τῶν τῆς ἀπεράντου κατὰ τὴν Εὐρώπην, Ἀσίαν τε καὶ Ἀφρικὴν Αὐτοκρατορίας αὐτοῦ, τῆς, ὡς Μουσουλμάνων παῖδες ἀίουσι, Θεσσώστου ἐπικαλουμένης, ἀναγκῶν κατεχόμενος, τὴν σωματικὴν αὐτοῦ καταστρέ-

1) Ἡ λέξις Γαζῆ, τῷ ἑκάστῳ Σουλτάνῳ, ἐφ' οὗ τῆς βασιλείας μετὰ Κράτους τινὸς ἀνεξαρτήτου, πολέμου κηρυχθέντος, καὶ τῶν ἀντιπάλων στρατειῶν συμπλακειῶν, ἀρχαίῳ ἰσλαμικῷ ἐθίμῳ διδόμενον ἐπώνυμον, οὐ νικητὴς σημαίνει, ὡς Γάλλων παῖδες, τοῦτο μεταφράζειν εἰώθασι, τοὺς τοιούτους Σουλτάνους νικητὰς ἀποκαλοῦντες, ἀλλὰ μᾶλλον πολεμιστής, ὅπερ ἐστί, αὐτοῦ βασιλεύοντος πόλεμος μετὰ τοῦ δεῖνος Κράτους ἐγένετο· οὕτω Σουλτὰν Μαχμοὺτ ὁ Β' καὶ ὁ νῦν βασιλεύων Σουλτὰν Ἀπτοὺλ Χαμὶτ ὁ Β' Γαζῆ ἐπεκλήθησαν ὡς μετὰ τῆς Ῥωσσίας πολεμήσαντες, ὁ δὲ ἄμεσος προκάτοχος τοῦ νῦν Αὐτοκράτορος καὶ αὐτοῦ θεῖος Σουλτὰν Ἀπτοὺλ Ἀζὶζ Γαζῆ οὐκ ἐπεκλήθη, μετὰ τῶν Ἐρζεγοβινίων καὶ Σέρβων μὴ ἀνεξαρτήτων τότε ὄντων, ἀλλ' αὐτῷ ὑποτελῶν καὶ ἀποστατησάντων, μαχησάμενος.

ψας σύστασιν μετὰ εἰκοσαετῆ αὐτοκρατορίαν, δεινῇ ὑπέπεσε φυματώδει τῶν πνευμόνων νούσῳ. Ὁ δὲ αὐτοῦ ἰδιαίτερος ἰατρὸς ὁ Κωνσταντῖνος θαμὰ ἐπεσκέπτετο αὐτὸν τὸ δυνατὸν θεραπεύων, οὐ γὰρ ὅλως ταῖς σωτηρίαις ἰατρικαῖς αὐτοῦ συμβουλαῖς, ὡς πρὸς τὴν δίαιταν μάλιστα, ὑπεῖκεν.

Εἰς δὲ τὰς τοῦ Ἀρχιπελάγους νήσους μέχρις Αἰγύπτου κατὰ τὸ ἔτος 1855 περιπλεύσας πρός τε διάχυσιν καὶ τὴν ἐκ τοῦ πλοῦ ὠφέλειαν καὶ τῶν τε νήσων καὶ τῶν αὐτοῦ ὑποτελῶν ἐπαρχιῶν ἐπίσκεψιν, μεγαλοπρεπῶς, ὡς προσῆκεν, ἐν τοῖς μεγάροις τῶν ἀδελφῶν Ἀμποττ ἐν Θεσσαλονίκῃ ἐξενίσθη ὁ Ἀπτοὺλ Μετζίτ, πλουσίων μὲν καὶ πολυκτημόνων ἐμπόρων ἄλλως τε δέ, ἐξ Ἀγγλίας τὸ γένος ἑλκόντων πατρόθεν, ἐκεῖσε τοῦ προπάτορος ἐξ Ἀγγλίας πρὸ ἐτῶν μετοικήσαντος καὶ μεθ' Ἑλληνίδος κόρης συζευχθέντος καὶ πρὸς χάριν αὐτῆς τοὺς παῖδας ὅλως ἐξελληνίσαντος, τά τε ἤθη καὶ τὴν θρησκείαν καὶ οὕτως τοὺς ἀπογόνους εἰς γνησίους Ἕλληνας, τό τε φρόνημα καὶ τὴν καρδίαν, τοὔνομα μονονοὺχ καὶ τὰ ἤθη τἀγαθὰ καὶ τὴν ἀγωγὴν ἀγγλίζοντας, μεταβαλόντος καὶ μορφωσαμένου. Τοῦ οἴκου τούτου, τοῦ τὰ πρῶτα ἐν τῇ πόλει ταύτῃ τῇ παραλίῳ τοῦ Αἰγαίου φέροντος, ἀπόγονος ἐκ τῶν ἀρίστων ἦν καὶ Ἕρρικος ὁ Ἄμποττ, ὁ τῆς Γερμανίας πρόξενος ἐν Θεσσαλονίκῃ καὶ τοῦ ἡμετέρου Κωνσταντίνου γαμβρός, ὁ κατὰ τὸ 1876 ἐν τῇ πόλει ἐκείνῃ ὑπὸ φανατικοῦ ὄχλου ἀνηλεῶς κατακερματισθεὶς ξίφεσι καὶ βοπάλοις μετὰ τοῦ πρὸς ἀδελφὴν γαμβροῦ αὐτοῦ τῆς Γαλλίας προξένου Ἰουλίου Moulin. Ἡ σπαραξικάρδιος ἐκείνη καὶ τραγικὴ σκηνὴ ἤδη ἐξέλιπεν, ἡ τάξις ἐπηνωρθώθη καὶ τὰ θύματα ἐν τῷ τῆς λήθης ῥείθρῳ τῷ πολυφλοίσβῳ καὶ ταχυρρόθῳ βυθισθέντα ἐξηφανίσθησαν, ὡς ἄλλως τε τοῦτο ἐν πᾶσι τοῖς ἀνθρωπίνοις καὶ γηΐνοις πράγμασι φιλεῖ γίγνεσθαι. Ἐν μόναις δὲ ταῖς καρδίαις τῶν φίλων ἡ μνήμη τῶν ἀνδρῶν ἐν ὅσῳ πάλλουσιν ἀνεξίτηλος μενεῖ.

Μετὰ δὲ τὸν εἰς τὴν πρωτεύουσαν ἀνάπλουν ὁ Σουλτάνος ὑπὸ μιάσματος τελματώδους, ἐν Θεσσαλονίκῃ, ὅπου καὶ ὁ τῆς ἰατρικῆς πολύπειρος πατήρ, ὁ Ἱπποκράτης, πρὸ τεσσαράκοντα ἑκατονταετηρίδων, τοὺς κακοήθεις πυρετοὺς μελετήσας ἀμιμήτως περιέγραψε, λάθρα προσβληθεὶς ἐνούσησεν, ὑπὸ φρικτοῦ πυρετοῦ καταβληθεὶς διαλείποντος. Ἐτύγχανε δὲ τότε ὁ ἡμέτερος Κωνσταντῖνος τοῦ Παλατίου ἀπών, ὡς πολλάκις τοῖς Ἄρχουσι ξυμβαίνει, τοὺς αὐτῶν εὐνοουμένους, ἔστω καὶ αὐτοὺς τοὺς ἰατρούς, οἷς πεπιστευμένοι εἰσίν, ἔστιν ὅτε πειθαναγκαζομένους ὑπὸ τῶν κολάκων, τῶν περὶ αὐτοὺς περιβομβούντων, τῶν πάντας ὑποσκάπτειν τοὺς εὐνοουμένους, νυκτὸς καὶ μεθ' ἡμέραν, σπουδῇ πειρωμένων, ἐξ ἀδυναμίας καὶ ἀσταθείας χαρακτῆρος ἀπομακρύνειν. Ἐτύγχανε δὲ τότε ἐν τοῖς ἀνακτόροις πρό τινων ἐτῶν ἰατρεύων ἰταλός τις ἰατρός, ἐκ Νεαπόλεως τὸ γένος ἕλκων, καὶ πρὸ πολλοῦ εἰς Κωνσταντινούπολιν πρὸς εὕρεσιν τύχης μεταναστὰς καὶ διατρίβων, ἔπηλυς, τὸ ἰατρικὸν ἐπαγγελλόμενος ἐπάγγελμα, παρὰ τοῖς Τούρκοις φημισθείς, καὶ πολυπληθοῦς πελατείας παρ' αὐτοῖς τυχών, κατά τινα χρόνον ἔν τε τῷ ναυστάθμῳ καὶ τῷ στρατῷ στρατιωτικοῦ ἰατροῦ θέσιν καθέζας, ὁ Καπολεόνης, πτυχίου διδάκτορος τῆς Ἰατρικῆς τῆς Νεαπόλεως Σχολῆς κάτοχος, ὑπὸ τοῦ Χαλὴλ πασσᾶ, τοῦ γαμβροῦ τοῦ Σουλτὰν Μαχμοὺτ ἐπ' ἀδελφῇ εἰς τὰ ἀνάκτορα εἰσαχθείς.

Τοῦτον, τοῦ προτέρου αὐτοῦ ἐπιστηθίου φίλου καὶ ἰατροῦ ἰδιαιτέρου, τοῦ Κωνσταντίνου, παραδόξως πως ἐπιλήσμων, πρὸς θεραπείαν προσεκαλέσατο, φήμης ἤδη καὶ ἐν αὐτῷ τῷ παλατίῳ ἐπιτηδείου ἰατροῦ τυχόντα, ἄλλως λίαν εὐσχήμονα τούς τε τρόπους καὶ τὸ ἀνάστημα καὶ τὸ βάδισμα καὶ τὴν ὄψιν σεμνοπρεπῆ, καὶ τὴν ὁμιλίαν βαρὺν καὶ μεγαλορρήμονα.

Τὸν βασιλέα δὲ τοῦ ἰατροῦ τούτου ἐπισκεπτομένου μετά τινος ἑτέρου τῶν ἀνακτορικῶν ἰατρῶν, φίλου τοῦ γαμβροῦ ἐπ' ἀδελφῇ τοῦ αὐτοκράτορος, τοῦ πυροβολικοῦ ἀιδίου[1] ἀνωτέ-

1) Ἀΐδιον αὐτὸν ὠνομάσαμεν, ὡς τὸ ὑπούργημα τοῦτο μόνον ἀσπασάμενον, καὶ τοῦτο μόνον κατέχειν σπουδάζοντα, καὶ πολλάκις τῆς ἀρχῆς ταύτης παυθέντα, διὰ τὴν δεῖνα ἢ δεῖνα αἰτίαν, ὡς ἄριστα τὸ ὑπούργημα τοῦτο ἐκτελοῦντα καὶ τὸ πυροβολικὸν ἐν Τουρκίᾳ ὡς μάλιστα, κατὰ τὸ τῆς πυροβολοποιίας πρὸ πάντων ἔργον, τὰ ἐργαστήρια καὶ χυτήρια τοῦ εἴδους τούτου τῶν ὅπλων καὶ τῆς μεγίστης ὁλκῆς τελειοποιησάμενον καὶ ἰθαγενεῖς ἐπιτηδείους ἐργάτας μορφωτάμενον, καὶ ἀνωτέραν σχολὴν τοῦ πυροβολικοῦ διὰ γερμανῶν διδασκάλων συστήσαντα καὶ οὕτως τῆς ἀδρᾶς μισθοδοσίας τῶν ξένων τὸ ταμεῖον τοῦ Κράτους ἀπαλλάξαντα, καὶ ὡς πλείστων ἄλλων κοινωφελῶν δημοσίων ἔργων καὶ καταστημάτων τὴν πρώτην βουλὴν σχόντα καὶ εἰς ὥρας ἐνεγκόντα, τὸν ἄνδρα ἀρχαῖον ἡμέτερον φίλον γενόμενον ἀπὸ τῆς ἐν Βιέννῃ πρεσβείας αὐτοῦ κατὰ τὸ 1835 ἐκ τοῦ πλησίον γνωρίσαντες καὶ ἐκτιμήσαντες.

Ἡ δὲ πρὸς τὴν τοῦ εἴδους τούτου λειτουργίαν κλίσις τοῦ Φετῆ Ἀχμὲτ πασσᾶ τοιαύτη τις ἦν ὥστε πολλάκις παυθεὶς ἐνεργείᾳ τοῦ κατὰ καιρὸν

του ἀρχηγοῦ καὶ διευθυντοῦ, τοῦ Φετῆ Ἀχμὲτ πασσᾶ ἐπικαλουμένου, ἐκ τῆς νήσου Ῥόδου τὸ γένος ἕλκοντος, κυρίου Δουρόνη ἰατροῦ, ἐν Γαλλίᾳ σπουδάσαντος, καί, οὐκ οἶδα πῶς, τούτων τὸν αὐτοκράτορα ὑπὸ διαλείποντος πυρετοῦ νοσοῦντα ἄλλως πως ἢ εἰδικῶς θεραπευόντων, καὶ τῆς πυρετώδους ἐξάψεως μὴ σβεννυμένης, ξυνεταράττοντο ἐν τῷ προδόμῳ οἱ θαλαμηπόλοι καὶ ἅπαντες οἱ περὶ τὸν Σουλτάνον καὶ ἐν αὐτῇ τῇ Πύλῃ οἱ μεγιστᾶνες σφόδρα περὶ τοῦ πράκτου ἀμφιβάλλοντες καὶ δυσφοροῦντες. Ἔτυχε δὲ τότε ἐκεῖ παρὼν τρίτος τις τῶν ἀνακτόρων τακτικὸς ἰατρός, τοῖς θαλαμηπόλοις εὔνους, ὁ καθηγητὴς κ. Ξενοφῶν Ζωγράφος. Τούτῳ συνεβουλεύσαντο οἱ ἀπορούντες φίλοι περὶ τοῦ πράκτου· ὃς δὲ τῶν τῆς νόσου συμπτωμάτων αἰσθόμενος καὶ τὴν φύσιν ταύτης νοήσας, ὡς ῥᾳδία ἡ ἀνάρρωσις τοῦ βασιλέως ἐξεφώνησε.—Καὶ πῶς; ἔφησαν αὐτοί.—Διὰ τῆς ἀντιπυρετώδους κινίνης, ἢ δ' ὅς.—Ἀλλὰ πῶς τοῦτο ἡμεῖς προτενοῦμεν, ἄνδρες ἰατροὶ μὴ ὄντες; ἀντέφησαν.—Ἀνάγκη μάλιστα, ἔφη ὁ Ζωγράφος, καὶ τρίτον ἰατρὸν προσκαλέσασθαι, προτεινῶντα.—Ἀλλὰ τίνα; ἠρώτησαν.—Ἀτρεκῶς γνωστόν τινα τῷ βασιλεῖ εἶναι προσήκει, ἐπειδὴ εἰ ἄγνωστόν τινα καὶ ἀλλότριον προσκομίσητε, οὗτος δύσερως τῇ Αὐτοῦ Α. Μεγαλειότητι, πυρεττούσῃ, ἂν ἀποβαίνοι.—Τότε οὐδεὶς ἄλλος ἁρμοδιώτερος τοῦ ἀρχαίου τοῦ ἄνακτος ἰδιαιτέρου ἰατροῦ καὶ φίλου, τοῦ Κωνζαντίνου, ἅπαντες συνανεφώνησαν οἱ θαλαμηπόλοι.

Ἠράυτα δὲ ἀγγέλους πέμπουσι τὸν Κωνσταντῖνον ὅσον τάχιον προσκαλέσοντας. Μία δὲ καὶ ἡμίσεια μόλις παρῆλθεν ὥρα καὶ ὁ προσκληθεὶς δρομαῖος ἀφίκετο.

Οἱ δὲ περὶ τὸν βασιλέα συνεσκέπτοντο τίνι τρόπῳ τὸν Κωνσταντῖνον τῷ βασιλεῖ παρουσιάσουσι. Τότε δὲ τούτων ὁ πρῶτος, τοὔνομα Ἀχμὶτ βέης, ἔφη: Τὸ σχέδιον τῆς ἡμετέρας ἐκστρατείας ἕτοιμον κατὰ νοῦν ἔχω. Τότε δὲ πρὸς τὸν δεσπότην πορευθεὶς ἔλεξε τάδε· «Ἡ τῆς Ὑμετέρας Μεγαλειότητος νοῦσος πράγματα Αὐτῇ παρέχει. Τῶν δὲ ἰατρῶν τῶν νῦν τὴν Ὑμετέραν Μεγαλειότητα θεραπευόντων, μὴ ὀρθῶς ὡς φαίνεται φρονούντων, ἀνάγκη τρίτον προσκαλέσασθαι ἰατρόν. Τίνα δὲ ἡ Ὑμετέρα Μεγαλειότης ἡμᾶς διατάττει προσκαλέσασθαι ἰατρόν;»—«Τὸν ἀρχαῖον ἐμὸν ἰατρὸν καὶ φίλον, τὸν Κωνσταντῖνον», ἀνεφώνησεν ὁ αὐτοκράτωρ.—«Οὗτος ἐν τῷ προδόμῳ ἐστὶν» ἦ δ' ὅς. —«Προσελθέτω εὐθύς» διέταξεν ὁ Σοὐλτὰν Μετζίτ, καὶ ὁ Κωνσταντῖνος ἐν ἀκαρεῖ προσῆλθε κατὰ τὸ ἀσιατικὸν ἔθος προσκυνῶν.

—Ὡς εὖ παρέστης! φίλων ἄριστε, ἀνέκραξεν ὁ Σουλτάνος, τὸν Κωνσταντῖνον ἰδών. «Πρόσελθε θαρραλέως, κἀμὲ τῆς ταραχῆς τῆς ἀκαταπαύστου, τῆς κατὰ πᾶσαν δευτέραν πρωΐαν σχεδὸν ἀκριβῶς ἐμὲ σφόδρα καύσωνι καὶ κεφαλαλγίᾳ μετωπίῳ, καὶ καρηβαρίᾳ ἀφορήτῳ, καὶ τῶν ἄρθρων ἐκλύσει, καὶ τοῦ στομάχου ἄλγει, λυμαινούσης. Οἱ ἐπισκεπτόμενοί με ἰατροί, διστάγμοις ἀτόποις ἀμφιταλαντευόμενοι, τυραννοῦσί με εἰκῇ, τὴν τῆς νόσου φύσιν ὡς δοκεῖ οὐ διαγνόντες ἀκριβῶς. Βέβαιοί ἐσμεν, σὲ τὸν ἐμὸν ἀρχαῖον ἔμπειρον ἰατρὸν καὶ φίλον, οὐδόλως διστάσαντα, ἐν ἀκαρεῖ, τὴν ἐμὲ καταθρύψουσαν πρὸ δεκαπενθημερίας ἐχθρὰν νοῦσον θριαμβευτικῶς καταπροπώσειν». Ὁ δὲ Κωνσταντῖνος τῶν ἐνθαρρυντικῶν τούτων, ἐκ τοῦ στόματος αὐτοῦ τοῦ βασιλέως προφερομένων, ἐν πυρετώδει ταχύτητι, ἀκούσας λόγων, ταπεινῶς τὴν κεφαλὴν κλίνας, τῇ βασιλικῇ χρυσῇ κλίνῃ προσπελάσας, ἥρξατο ῥίμα καὶ ἀταράχως τῆς ἰατρικῆς ἐξετάσεως. Ταύτην δὲ περάνας, τοῦ στομάχου συμπαθητικῶς κάπως ἀλγοῦντος αἰσθόμενος, πρωτίστως ἀρχαίᾳ τριβῇ τοῦ μεγαλόνου μέν, ὑπερβολικοῦ δὲ τὰς ἀρχάς, τῶν γαλατῶν διασήμου Broussais, ἐν τῇ νεότητι τοῦ Κωνσταντίνου, ὅτε τὰς τῆς ἰατρικῆς ἑφοίτα σχολάς, ξυμπάσης σχεδὸν τῆς σπουδαζούσης Εὐρώπης καταδεσποζούσῃ, ἐκτὸς τῆς τῆς Βινδοβόνης ἰσαει κλασικῆς ἀνεξαρτήτου καὶ πρωτοβούλου διαμεινάσης ἰατρικῆς σχολῆς, ἐμπιστευθείς, ἐπὶ τοῦ στομάχου εὐθὺς δεκαπέντε ἐπιθέσαι δεῖν βδέλλας ἀπερήνατο, ὡς, τῇ τοπικῇ ταύτῃ προκαταρκτικῇ ἀραιμάξει τὴν τοῦ στομάχου ἐρεθιστικότητα ἀρελοῦντα αὐτὸν ἐπιτηδειότερον τὸ ἀντιπυρετικὸν εἰδικὸν φάρμακον δέξασθαι ποιήσαι. Ἅμ' ἔπος ἅμ' ἔργον, τὴν τῶν βδελλῶν ἐπίθεσιν αὐτοῦ τοῦ ἰατροῦ ἀναλαβόντος. Ὁ δὲ βασιλεὺς ὅλως πειθήνιος καὶ χαρίεις ἐκ τῆς ἐνδομύχου πρὸς ἐκεῖνον πίστεως, ἄνευ οὐδεμιᾶς παρατηρήσεως καὶ ἀντιλέξεως εἶκε ποιεῖν.

Τῆς δὲ ἐπιθέσεως τελεσθείσης, καὶ ἐνταὐτῷ καὶ τῆς τοῦ πυρετοῦ περιοδικῆς ἐξάψεως σβεσθείσης, ἔκλυσις καὶ ἐρίδρωσις ἀνακουριστικὴ ἐπῆλθεν, ὁ δὲ Σουλτάνος, τὸν ἰατρὸν ἐπὶ τῷ θαύματι τῆς ἀκαριαίας θεραπείας ἐπήνεσε, καὶ τὴν ἐμπειρίαν τοῦ ἰατροῦ εἰς οὐρανοὺς ἐξήγειρε, καὶ αὐτῷ ἐπὶ τῇ σωτηρίᾳ ἠχαρίστησεν. Τούτων οὕτως αἰσίως γενομένων, οἱ ἔξω ἀσθμαίνοντες ἐν φόβῳ καὶ ἀδημονίᾳ ἰατροὶ ἀπεπέμφθησαν ἐπὶ τὸ εὐφημότερον, τοῦ Σουλτάνου ἠπίου φύσει καὶ φιλόφρονος ὄντος καὶ ἀρχαίοις βημαίοις ἔθεσι χρῆσθαι μηδέποτε βουλομένου.

Τὴν δ' ἐπιοῦσαν ἅμα ἡλίου ἀνίσχοντος εἰς τὰ ἀνάκτορα ἀφίκετο σπουδῇ ὁ ἰατρός, τὸν ὑψηλὸν αὐτοῦ ἀσθενῆ νοσηλευσόμενος. Καὶ τῇ πρωΐᾳ τοῦ πυρετοῦ ὑφιεμένου, θειικῆς κινίνης ὡσεὶ κόκκους ἑκκαίδεκα προσήνεγκεν, ἐν ἀναλύσει, εἰς δύω δόσεις κατὰ μικρὸν χρονικὸν διάστημα πρὸς πόσιν. Ὁ δ' αὐτοκράτωρ τὴν νύκτα ἡσυχος ὑπνώσας, καὶ εὐαρίστῳ ἐφιδρώσει δροσισθείς, εὖ εἶχε κατ' ἄμφω ἀφυπνήσας, καὶ ἱλαρῶς τῷ ἰατρῷ προσαγορεύσας, ἠχαρίστησεν αὐτῷ ἐπὶ τῇ θαυμασίᾳ τῆς πυρετώδους δυσφορίας ἀνακουρίσει, τὴν τέχνην αὐτοῦ ἐπαινέσας. Τὴν ἐσπέραν οὐδ' ἴχνος ἐξάψεως αἰσθητὸν ἐγίνετο, καὶ ἡ νὺξ ἡσυχωτέρα διῆλθε. Τὴν δ' ἐπιοῦσαν ἡ τῆς θειικῆς κινίνης δόσις ἐπανελήφθη καὶ οὕτω καθ' ἑξῆς ἐπί τινας ἡμέρας μεθ' ἃς πρὸς ἀποθεραπείαν τονικά τινα συνέταξεν ὁ ἰατρός, μεθ' ἃ ὁ βασιλεὺς ὡς ὅλως ἀνερρώσας ἐν μικρῷ ἐκηρύχθη καὶ εἰς τὸ τέμενος κατὰ τὸ ἀρχαῖον ἔθος τῶν προβόλων πυρσοκροτούντων[1], ἐπὶ πέντε καὶ εἰκοσακόπου λευκοχρύσου ἀκατίου, τὰ τοῦ Βοσπόρου κύματα μεγαλοπρεπῶς διασχίζοντος, χρυσῷ ἀναπτερόεντι ἀετῷ κατὰ μέσην πρύμνην ἐν παρατάξει καὶ πομπῇ προσευξόμενος μετέβη.

Ἦν δὲ τότε ὁρᾶν τε καὶ ἀκούειν τὰ ὑπὲρ τοῦ ἰατροῦ, τοῦ ἐν βραχεῖ τὸν βαρέως νοσήσαντα Σουλτάνον νοσηλεύσαντος, ἐγκώμια, καὶ τὰς τῶν μεγιστάνων ὑποκλινεῖς προσρήσεις, συγχαρήτειρά τε καὶ εὐφημίας, καὶ τὰ κρουνηδὸν εἰς τὴν οἰκίαν αὐτοῦ καταρρεύσαντα παρὰ πάντων πολύτιμα ὡς ἐπὶ τὸ πολὺ ἐξ ἀδαμαντοκολλήτων ταβακοθηκῶν συνιστάμενα δῶρα, ἅπερ ἅπαντα ὑπὸ τοὺς τοῦ Σουλτάνου ὀφθαλμοὺς ὑποβάλλειν εἴθιστο.

Καὶ ταῦτα μὲν περὶ τούτων. Μετὰ ἓξ δὲ πάλιν ἔτη τῷ 1861 νοσοῦντος τοῦ αὐτοκράτορος, σοῦ δὲ ἐπ' ἀδελφῇ γαμβροῦ αὐτοῦ Μεχμὲτ-Ἀλῆ τοῦ πάνυ, τοῦ ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ναυτικοῖς ὑπουργήσαντος τότε, καὶ τοῦ πολλάκις ἐν τοῖς στρατιωτικοῖς ὑπουργήσαντος, περιδόξου Ῥιζᾶ πασσᾶ, τοῦ ἐπὶ τοῦ πατρὸς τοῦ Σουλτὰν Ἀπτοὺλ Μετζίτ τοῦ Γαζῆ, Σουλτὰν Μαχμούτ, ἐν τοῖς ἀνακτόροις μετὰ τοῦ προτέρου θαλαμηπολήσαντος, καὶ παρὰ τῷ Σουλτάνῳ ἀμφοτέρων μέγα δυναμένων, κατιδόντων τὴν νοῦσον σμικρᾶς σωτηρίας παρέχουσαν ἐλπίδας καὶ τοῦ τότε θαλαμηπόλου Ἀχμὲτ βέη, τὸν τοῦ παλατίου ἰατρὸν κύριον Ξενοφῶντα τὸν Ζωγράφον, ὃς καὶ ἐν τῇ Ἰατρικῇ Α. Σχολῇ καθηγητὴς τῆς Ὑγιεινῆς πρό μικροῦ ἀνηγόρευτο, ἔτι μᾶλλον προαγαγεῖν καὶ τῷ βασιλεῖ προσπελάσαι ἐπιθυμοῦντος, συμβούλιον ἰατρικὸν συγκροτῆσαι, ταπεινὴ ἐγένετο τῷ νοσοῦντι Σουλτάνῳ ἀνηκούσαις ταῖς προφυλάξεσι καὶ ἀνυπόπτοις ταῖς δικαιολογίαις τούτου πρότασις. πρὸς τὸ δῆθεν ταχυτέρας τῆς ἀναρρώσεως τυχεῖν, ὡς πλειόνων δοκίμων ἰατρῶν συσκεπτομένων, τοῦ προϊόντος πορίσματος βεβαίως ὑγιεσιμωτέρου ὄντος, καὶ ἐκ τῆς συγκρούσεως τῶν ἰδεῶν, τοῦ φωτὸς φαεινοτέρου ἐκπιεζομένου, καὶ παραπλησίοις προφάσεσιν, ἐπειδὴ ὁ Σουλτάνος ὁ ἅπασαν τὴν αὐτοῦ πίστιν τῷ φίλῳ αὐτοῦ ἰατρῷ Κωνσταντίνῳ ἀναθείς, οὐκ ἠβούλετο ἄλλους ἰατροὺς παρ' αὐτῷ ξυγκαλέσαι.

Οὕτω δὲ μετὰ πολλὴν τὴν ὁμόφωνον τῶν περὶ τὸν Αὐτοκράτορα συνηγορίαν, ἐπείσθη οὗτος ἑκών τ' ἄκων ὑπὸ τὴν ἐξέτασιν πλειόνων ὑποβληθῆναι ἰατρῶν. Καὶ ὄντως, τῶν περὶ τὸν Σουλτάνον, περὶ τῆς ἐκλογῆς τῶν συγκληθησομένων ἰατρῶν πρὸς συμβούλιον ἰατρικόν, συσκεφθέντων καὶ ἑκάστου τούτων ἰατρόν τινα ἐκ τῶν δοκίμων καὶ γνωστῶν αὐτῷ προτείναντος ἀπερασίσθη τὸν μακαρίτην Ἰούλιον Μίλλιγγεν τὸν τοῦ λόρδου Βύρωνος διάσημον καὶ εὐρυῆ ἰατρόν, τὸν μετὰ τὸν πρόωρον ἐκείνου τοῦ μεγαλοφυοῦς ἀνδρὸς θάνατον εἰς Τουρκίαν προσφυγόντα, καὶ ἐν Κωνσταντινουπόλει ἐκτοτε τὴν ἰατρικὴν ἀσκήσαντα, καὶ ἐν τοῖς ἀνακτόροις ὑπηρετοῦντα ὡς ἰατρὸν ἔμμισθον καὶ ἐν τῷ διεθνεῖ ὑγειονομικῷ συμβουλίῳ τὴν Δανιμαρκίαν ἐκπροσωποῦντα, ἐν συμβουλίῳ συγκαλέσαι. Εἶτα τὸν διδάκτορα τῆς ἰατρικῆς καὶ καθηγητὴν τῆς φυσιολογίας κ. Κασπὰρ Σιναπιὰν Μπέην, Ἀρμένιον, τὸν ἄνω ῥηθέντα κ. Ξενοφῶντα Ζωγράφον καὶ ἐμέ.

πρωθυπουργοῦ, τοῦ τότε Σαδραζὰμ ἐπικαλουμένου, τοῦ τὴν σουλτανικὴν χρονίαν ἐκείνην εὖναιαν πάντοτε ὑποβλέποντος καὶ τὸν εὐνοούμενον ὑποσκελίσαι ἀεὶ σπουδάζοντος, οὐδέποτε ἑτέρου ὑπουργείου ὑπουργῆσαι ἐθέλατο, ἄργος ἐν τῷ μεγάρῳ αὐτοῦ σχολάζειν προτιμῶν καὶ αὐτὴν τὴν πρωθυπουργίαν πολλάκις τοῦ εὐνοῦντος καὶ ἐξ ἀγχιστείας συγγενοῦς Σουλτάνου προτείναντος ἀποκρούσας.

1) Εἴθισται, τοῦ Σουλτάνου εἰς τὸ τέμενος ἀκριβῶς κατὰ μεσημβρίαν τῆς Παρασκευῆς διὰ θαλάσσης μὲν μεταβαίνοντος, πυροβολεῖν ἅπαξ καὶ εἰκοσάκις, διὰ ξηρᾶς δὲ ἄνευ πυρσοκροτήσεως καὶ μόνον παταγίζειν καὶ εὐφημεῖν γεγωνοῖς τῇ φωνῇ διά τινων τῶν τῆς σωματοφυλακῆς μεγαλοφώνων ἀνδρῶν, Παϊσταχμὶζ τσὸχ γιασὰ κραυγαζόντων, ὅπερ ἐστὶ ζήτω εἰς μακραίωνας ὁ ἡμέτερος βασιλεὺς καὶ δεσπότης.

Πρὶν δ' ἢ παρὰ τῷ ἄνακτι πρὸς ξυμβουλὴν εἰσελθεῖν, τὼ Σατράπε πρὸς τὴν ἡμετέραν ἐν τῷ ξυμβουλίῳ οἰκοδομὴν παρ' αὐτοὺς προσεκαλέσαντο τὰ δέοντα προδιδάξοντε. Καίπερ δὲ τοῦ Μεχμὲτ Ἀλῆ πασσᾶ τοῦ πρὸς ἀδελφῆς γαμβροῦ τοῦ Σουλτάνου τὴν προεδρείαν φύσει καὶ θέσει κατέχειν δικαιουμένου, ὁ πολύμητις Ῥιζᾶ πασσᾶς ἤρξατο εἰπών: «Ὑμεῖς, κύριοι ἰατροί, παρὰ τῷ Κρατιστάτῳ ἡμῶν Ἄνακτι ἐντὸς μικροῦ παραστήσεσθε δεῖ δὲ ὑμῖν, καίτοι οὐδόλως ἀπείροις οὖσι, τινὰ ἄττα πρὸς ἐφόδιον προοιμιάσαι καὶ ὑμᾶς προαλεῖψαι, πρὸς τὸ τῇ Α.Μεγαλειότητι, λίαν εὐαισθήτῳ οὔσῃ νοσούσῃ, τὴν ἰατρικὴν ὑμῶν ξυμπεριφορὰν οὔτε σμικρὸν προσκροῦσαι. Ὑμεῖς κατὰ σειρὰν παρ' αὐτῷ, τοῦ Κωνσταντίνου ἐφέντη προϊσταμένου, παριστάμενοι, ὅ,τι ἂν ὑμῖν διαταχθῇ, εὐπρεπῶς καὶ ἄνευ στόμφου καὶ πατάγου πράξετε. Ἕκαστος ὑμῶν μετὰ τὴν Αὐτοκρατορικὴν διαταγήν, αὐτῷ ξυνεσταλμένως καὶ τὰ χεῖρε πρὸ τοῦ στήθους εὐσχήμως συνημμένα, μέχρι πέντε βημάτων, μετὰ τὴν ἐδαφιαίαν προσκύνησιν, προσπελάσει, καὶ διὰ τοῦ πρώτου ἰδιαιτέρου ἰατροῦ εὐσεβάστως καὶ ὑποκλινῶς τὴν ἔποψιν τῆς ἐπιφανείας τῆς αὐτοκρατορικῆς γλώττης προσιδεῖν καὶ τὴν τοῖν καρποῖν δοκιμασίαν, πρὸς τὸ τοὺς σφυγμοὺς καταμετρῆσαι, τελέσαι αἰτήσεσθε, καὶ ἢν δὲ ἐρώτησιν ἄλλην τινά, καὶ ταύτην ἀναγκαίαν οὖσαν πρὸς τὴν τῆς νούσου διάγνωσιν, ἀποτεῖναι ἂν βούλοιτό τις, ταύτην πάλιν διὰ τοῦ στόματος τοῦ κ. Κωνσταντίνου ἐφέντη τῷ Σουλτάνῳ διαβιβάσετε. Εἶτα, ἑνὸς ὑμῶν ἰδίᾳ πρὸς τὸ τὴν τοῦ στήθους ἰατρικὴν ἐπίκρουσιν καὶ ἀκρόασιν ἐκτελέσαι ὑπ' αὐτοῦ τοῦ ἄνακτος ὁρισθέντος, οὗτος τοὺς δύω τούτους τῆς ἰατρικῆς ἐξετάσεως τρόπους ἀκριβεῖ τῇ ἐθιμοταξίᾳ, οὐχ ὅλως τῷ σώματι τῷ αὐτοκρατορικῷ προσπελάζων, οὔτε τούτῳ ἐπιβαρύνων, καὶ χρονιώτερον τοῦ ἀκριβοῦς δέοντος ἐπικείμενος, ἐκτελέσει, καὶ μετὰ ταῦτα, ἐν ἰδιαιτέρῳ δωματίῳ, ἅπαντες τρὶς προσκυνήσαντες συνελεύσεσθε, πρὸς τὸ συσκεφθῆναι, τὴν διάγνωσιν θέσθαι, καὶ τὴν θεραπείαν τήν τε ὑγιεινὴν καὶ διαιτητικὴν καὶ τὴν φαρμακευτικὴν ὁρίσασθαι». Ταῦτα τοῦ Σατράπου προδιδάξαντος, ἀνέστημεν, κατὰ σειράν, τοῦ Κωνσταντίνου προϊόντος, εἰς τὸ τοῦ Ἄνακτος δῶμα πορευσόμενοι. Καὶ μακρὰν ἐν τοῖς ἀπεράντοις προδόμοις καὶ αἰθούσαις τῶν τοῦ Δολμᾶ Βαγτσὲ ἀνακτόρων βαδίσαντες ἔστημεν, ἐμβροντήτων δίκην τῆς βροντώδους τοῦ ἄνακτος φωνῆς «Μεχμὲτ» κράξαντος, ἀκούσαντες. Ἡ προσφώνησις δὲ αὕτη ἐγένετο, ἐπειδὴ ὁ ἄναξ κατὰ τὴν στιγμὴν ἐκείνην ἠναγκάσθη που ἐξιέναι. Μικρὸν ἀναμείναντες, παρὰ τῷ ἄνακτι ὡδηγήθημεν. Εὕρομεν δὲ αὐτὸν ἐπί τινος μεταξωτοῦ ἐρυθροῦ εὐρωπαϊκοῦ ἀνακλιντῆρος, ἐν τῷ μέσῳ ἀπεράντου τινὸς αἰθούσης, δι' ἐρυθρῶν ὡσαύτως τῆς ὀροφῆς ὑελωμάτων φωτιζομένης.—«Ὡς εὖ παρέστητε, φίλοι ἰατροί», ἠπίως καὶ εὐμενῶς ἀνεφώνησεν ὁ εὐγενὴς Σουλτάνος ἅμα ἡμᾶς ἰδών. «Ὑμᾶς πρός με προσεκαλεσάμην καίπερ τοῦ ἐμοῦ Κωνσταντίνου, ᾧ πᾶσαν τὴν ἐμὴν πίστιν καὶ ἐλπίδα πρὸ πολλοῦ ἀνεθέμην, ἄριστα ἐπαρκοῦντος· ἐπειδὴ τούτου, τὰ ἐμὰ εὖ εἰδότος, ἐμοὶ βοηθῆσαι καὶ ἐμὲ θεραπεῦσαι ἀδυνατοῦντος, οὐδεὶς ὁ βοηθήσων καὶ οὐδεὶς ὁ θεραπεύσων. Ἀλλ' οἱ περὶ ἐμέ, περὶ τῆς ὑγιείας τῆς ἐμῆς λίαν ἐμφρόντιδες, οὕτως ἐμὲ πρᾶξαι ἠβουλήθησαν, καὶ ξυμβούλιον ἰατρικὸν περὶ ἐμὲ συγκροτῆσαι προελόμενοι, ἔπεισαν. Προσελθέτω οὖν ἕκαστος θαρρῶν καὶ ὅ,τι ἂν βούλοιτο ἐρωτάτω». Τότε οὖν τούτων ἀκούσαντες τῶν ἐνθαρρυντικῶν λόγων, ἕκαστος ἡμῶν ἐδαφιαίως προσκυνήσας, τὴν χεῖρα ἐπὶ τοῦ στόματος καὶ τοῦ μετώπου ἀλληλοδιαδόχως θείς, καὶ τὸ ὀφθαλμὼ ἐπὶ τοῦ ἐδάφους ταπεινῶς στήσας, ἔπραξεν ἀκριβῶς, ἃ παρὰ τοῦ Ῥιζᾶ πασσᾶ ἐδιδάχθη. Εἶτα τοῦ πρώτου θαλαμηπόλου τὸν αὐτοκρατορικὸν ὁρισμὸν λαβόντος, Ξενοφῶντα τὸν Ζωγράφον παρὰ τῷ ἄνακτι, Αὐτὸν ἰδίᾳ ἐξετάσοντα, ἐκράτησεν, ἡμῶν ἁπάντων κατὰ σειράν, οὕτως ὡς προσήλθομεν, ἐν ἰδίῳ δωματίῳ ἀναμενόντων. Ὁ δὲ Ζωγράφος τὴν ἰατρικὴν ἰδίᾳ ἐξέτασιν ὡς εἰκὸς τελέσας, ἐξῆλθεν ἡμῖν τὸ προϊὸν ταύτης ἐκθέσων. Εὗρε δὲ διὰ τῆς ἐπικρούσεως τὰς τοῦ στήθους ἐπικλειδίους χώρας ἀμφοτέρωθεν ἀμβλείας καὶ διὰ τῆς ἐμμέσου ἀκροάσεως ἦσθετο ῥόγχων καταρροϊκῶν, καὶ ἔστιν ὅτε καὶ συνηχούντων, καὶ κάπου ἀναπνοῆς βρογχικῆς, ἐξ ὧν σημείων οὐδεμία ἐναπελείφθη ἀμφιβολία ὑπάρξεως φυματώδους τε τῶν πνευμόνων τοῦ ὑψηλοῦ ἀσθενοῦς, καὶ κατάρρου διαχύτου δευτερεύοντος χρονίου. Αἱ δὲ ἀποχρέμψεις ἦσαν σπάνιαι καὶ ἡ γενικὴ τοῦ σώματος σύστασις ἀσθενὴς σὺν ἰσχνότητι προβεβηκυίᾳ· πυρετὸς δὲ ἡμερήσιος ἑσπερινὸς οὐκ ἔλειπεν ὑπ' ἐφιδρώσεως πρωϊνῆς, κατὰ τὴν τῆς κεφαλῆς καὶ τοῦ στήθους μάλιστα χώραν, καθ' ἑκάστην τὸν Σουλτάνον παρενοχλούσης. Ἐκ τούτων ἁπάντων, ἡ διάγνωσις ὁμόφωνος φυματώδεως πνευμονικῆς κατὰ τὸ πρῶτον αὐτῆς στάδιον εὐμαρῶς ὡρίσθη καὶ ἡ πρόγνωσις ἀπαίσιος ἐξεφωνήθη. Ἡ δὲ θεραπεία καθ' ὅλους αὐτῆς

τοὺς τρόπους ῥωστήριος ἐνεκρίθη, τῆς διαίτης οὔσης ἐξ ὀπτῶν καὶ αἱμοσταγῶν κρεῶν, καὶ οἴνου γενναίου Βορδελενίου. Ἡ γαλακτικὴ δίαιτα, ὑπό τινος τῶν συμβούλων ἰατρῶν προβληθεῖσα, ἀπερρίφθη, ὡς τοῦ στομάχου τοῦ αὐτοκράτορος, τῶν ἐρεθιστικῶν ἐθάδος, τὸ ἧπιον γάλα μὴ φέροντος. Ἄλλου δέ τινος ἐξ ἡμῶν τὰ οὖρα ἐξεταστέα νομίσαντος, ταῦτα ἅπασι τοῖς ἀνὰ χεῖρας ἀντιδραστικοῖς δοκιμασθέντα οὐδὲν τὸ παρὰ φύσιν, κατά τε τὰς φυσικὰς καὶ χημικὰς αὐτῶν ἰδιότητας, ἐπαρουσίασαν.

Τοιοῦτον ἦν τὸ τοῦ ἰατρικοῦ συμβουλίου ἀποτέλεσμα, τὴν φύσιν τῆς ὀλεθρίου νόσου τοῦ ἄνακτος εὑρινήσαντος.

Ὁ δὲ βασιλεὺς μόλις δύω ἑβδομάδας ἐπιζήσας, τὴν 13 ἰουνίου τοῦ 1861 τὸν ὕστατον ἐξέπνευσε στόνον μέγα πένθος τοῖς ἀγαπήσασιν Αὐτὸν λαοῖς καταλιπών. Ὑπῆρξε δὲ βασιλεὺς λίαν νοήμων, φιλάνθρωπος, ἥπιος, τῆς προόδου ζηλωτής, λίαν εὐγενής, ἀλλ' ἔστιν ὅτε, ὡς εὐερέθιστος, ὀργίλος, ἐσαεὶ εὐεργετικός, καὶ αὐτοῖς τοῖς ἐχθροῖς αὐτοῦ καὶ ἐναντίοις εὖ ποιεῖν σπουδάζων. Εἰ δέ τις καὶ ἔλλειψις ἐν αὐτῷ ὑπῆρχεν, αὕτη ἦν ἡ τοῦ θάρρους, καὶ τῆς πατροπαραδότου ἀνδρείας καὶ τοῦ μεγαλεπηβόλου.

Ἅμα δὲ τοῦ βασιλέως θανόντος, καὶ ἐπὶ ψιάθου, κατὰ τὸ τῶν Τούρκων ἔθος, πρὸς ἀπόδειξιν καὶ ἐπικύρωσιν τῆς τῶν ἀνθρώπων ἰσότητος καὶ ματαιότητος τεθέντος, γοεροὶ ὀλοφυρμοὶ ἐν τῇ γυναικωνίτιδι τῶν γυναικῶν, καὶ τῶν εὐνούχων φωναὶ ὀξεῖαι, καὶ τῶν ὑπηρετῶν καὶ θεραπόντων συγκεχυμέναι κραυγαὶ γοεραὶ ἠκούσθησαν, ὡς ἄλλως τε ἐν τοιαύτῃ περιστάσει τοιοῦτοι ὀλολυγμοὶ ἀντηχεῖν εἰώθασιν ἐν τῷ ἐρημουμένῳ παλατίῳ, καὶ ταῖς τῶν φιλησύχων ἀκοαῖς ἐντρόμως προσκρούειν καὶ τὰς τρίχας τῆς κεφαλῆς δυσαρέστως ἀνορθοῦν. Ὁ δὲ ἰατρὸς μόλις ἀπηλλάγη πρὶν ἢ τὸ θλιβερὸν ἄκουσμα γνωστὸν τοῖς πᾶσιν ἂν γένοιτο, ἀβρόχοις ποσί, καὶ ἀσινεῖ σώματι, δι' αὐτῷ γνωστῶν ἀφανῶν διόδων καὶ μυχῶν σωτερος διαφυγὼν οὕτως ὡς κατὰ τὸν θάνατον τοῦ πατρὸς τοῦ Σουλτάνου τούτου, τοῦ Σουλτὰν Μαχμούτ, διὰ τῆς τοῦ δώματος θυρίδος, ἔν τινι περιπτέρῳ τῶν ἐν τῇ ἀσιατικῇ τοῦ Βοσπόρου ὄχθῃ, ἄνωθι τῆς Χρυσοπόλεως κειμένῳ, εἰς τὴν ὁδὸν πηδήσας.

Καὶ οὕτω μὲν ὁ ἀγαθὸς Σουλτάνος εἰς τὰς οὐρανίους μονὰς μετὰ τὸν ἐπὶ τῆς γῆς βίον ἀπέπτη, μέγα πένθος τοῖς ἑαυτοῦ διαφόρου θρησκεύματος, φυλῆς καὶ ἐθνότητος καταλιπών, ὡς παρὰ πάντων ἀνεξαιρέτως ἀγαπώμενος καὶ τιμώμενος καὶ τοὺς πάντας ἀνεξαιρέτως εὐεργετήσας. Οἷας δέ τινος λύπης ἀμυθήτου ὁ ἡμέτερος ἤσθετο Κωνσταντῖνος τοῦτο περιγράψαι οὔτε δυνατὸν οὔτε ἀναγκαῖον ἡγοῦμαι ὡς εὔληπτον. Καὶ νὴ Δία, ἅμα θανόντος τοῦ εὐεργέτου ἤρξατο ὁ ἀπαρηγόρητος ἰατρὸς τῶν δυσαρέστων ἀποτελεσμάτων πειρᾶσθαι. Καὶ τὴν μὲν μισθοδοσίαν ἣν ἰσόβιον ὡρίσατο ὁ μεγάθυμος μακαρίτης, αὐτοκρατορικῷ διατάγματι σπουδαίως ἐμείωσαν, ἐνῷ τὴν ταὐτόσημον τοῦ κ. Spitzer, ἄλλοτε καὶ τούτου ἰατροῦ τοῦ Σουλτάνου διατελέσαντος, μισθοδοσίαν, τῇ αἰτήσει καὶ ἐπιρροίᾳ τοῦ τότε παρὰ τῇ Ὑψηλῇ Πύλῃ πρεσβεύοντος κόμητος von Prokesch Osten, ἀκέραιον διετήρησαν. Τὴν δὲ ἀντιπροσωπείαν τῆς Χίου παρὰ τῇ Ὑψηλῇ Πύλῃ, ἣν καὶ αὐτὴν ὁ εὐεργέτης ταῖς ἄλλαις εὐεργεσίαις προσηρτήσατο, ἀνέπαφον ἀφῆκαν. Ὡσαύτως δὲ καὶ ἐν τῇ ἐν τῇ ἰατρικῇ σχολῇ καθηγεσίᾳ, τῇ χρονίᾳ ἤδη, ἀνεπηρέαστον τὸν ἰατρὸν διετήρησαν, τὸν μισθὸν βαθμηδὸν αὐτῆς, ὡς καὶ τῶν λοιπῶν, εἰς τὸ ἥμισυ, πρὸς ἐπανόρθωσιν τῶν κακῶς ἐχόντων τοῦ Κράτους οἰκονομικῶν, μειώσαντες.

Καὶ ὁ μὲν ἡμέτερος Κωνσταντῖνος τῆς πρώτης τῆς λύπης ὁρμῆς κατευνασθείσης, ἤρξατο πάλιν τὴν τοῦ Ἀσκληπιοῦ τέχνην ἀσκεῖν τὴν θείαν, τοῖς νοσοῦσιν ἄγγελος σωτὴρ γινόμενος καὶ ἐν τῇ ἰατρικῇ σχολῇ διδάσκων, ἔνθα ὁ πρεσβύτερος καὶ ὁ ἐπιμελέστερος διέμεινεν ὁμολογουμένως τῶν καθηγητῶν, τοῦ ἑαυτοῦ θείου, τοῦ Νέστορος τῶν ἀσκληπιαδῶν καὶ θεολόγων, Στεφάνου τοῦ Καραθεοδωρῆ, τὸ ζῆν καταμετρήσαντος, τοῦ ἐξ ἀπαλῶν ὀνύχων ἔν τε τῇ γειναμένῃ καὶ μακρὰν αὐτῆς προστάτου καὶ αὐτοῦ κηδεμόνος τελέσαντος.

Μετὰ τὸν Σουλτὰν Ἀπτοὺλ Ἀζίζ, Μουρὰτ τοῦ πρωτοτόκου τῶν υἱῶν τοῦ Σουλτὰν Ἀπτοὺλ Μετζὶτ τοῦ Γαζῆ ὑπὸ τὸ ὄνομα Μούρατ τοῦ Ε' ἐπὶ τοῦ θρόνου ἀναβάντος, εἶτα δὲ παραφρονήσαντος καὶ ἐκπτώτου τῇ τοῦ Σεϊχ-ουλ-Ἰσλὰμ Ἀπτουρραχμὰν Ἐφέντη ῥήτρᾳ τῇ ἱερᾷ γενομένου, ὁ δευτερότοκος τοῦ Σουλτὰν Μετζὶτ υἱός, ὡς πρεσβύτερος τῶν ὑπολειπομένων πολυαρίθμων τῶν δύο αὐτοκρατόρων βασιλοπαίδων, ἀνέβη ἐπὶ τὸν θρόνον τῶν ἐνδόξων αὐτοῦ πατέρων ἅπαντα τὰ ἰατρικὰ καὶ θρησκευτικὰ μέσα πρότερον ἐξαντλήσας πρὸς τὴν τοῦ ἀδελφοῦ αὐτοῦ, ὃν διακαῶς ἠγάπα, ἀνάρρωσιν, Σουλτὰν Ἀπτοὺλ Χαμὶτ ὁ Β', ὁ 34ος τῆς τῶν Ὀθωμανῶν δυναστείας καὶ 26ος Ἀδι

σὰχ μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν.

Ὁ Σουλτάνος οὗτος, λίαν εὐεργετικὸς καὶ φιλάνθρωπος, τῆς τοῦ πατρὸς αὐτοῦ πρὸς τὸν ἡμέτερον Κωνσταντῖνον ἀγάπης, ὃν ἄλλως τε παιδιόθεν ἐγνώρισε, μνήμων, τῇ ἐμῇ πρωτοβούλῳ προτροπῇ, εἰς τὸν βαθμὸν γερουσιαστοῦ τοῦ συνταγματικοῦ κράτους αὐτοῦ προηγάγετο. Κἀνταῦθά ἐστι καὶ αὖθις ἰδεῖν τὸ τοῦ Κωνσταντίνου εὐδακρυ, τοῦ αἰσθήματος, τὴν ἀνδρικὴν ὅλως καρτερίαν αὐτοῦ, ἧς ἐν τῷ μακρῷ αὐτοῦ βίῳ τρανὰ πολλάκις ἐπεδείξατο δείγματα, ὑπερβάλλοντος, ὡς καὶ ἄνωθί που ἔφθημεν ἱστορήσαντες. Ὅτε ἐγὼ παρίστην τοῦτον τῷ εὐεργέτῃ βασιλεῖ ὁ βασιλεὺς εὐπροσηγόρως καὶ ἱλαρῶς προσεφώνησεν ἀσπασάμενος καὶ εἰπών: «Τοῦ ὄνπερ ἐγώ σοι χορηγῶ βαθμοῦ καὶ ἀξιώματος σὺ πρὸ ἐτῶν ἄξιος ἀνεδείχθης, τῷ ἐμῷ οἴκῳ πιστῶς ὑπηρετήσας κατὰ δύω καὶ τρεῖς ὅλας γενεὰς καὶ τοὺς δύο ἀμέσους προπάτορας τοὺς ἐμοὺς θεραπεύσας καὶ αὐτῶν φίλος εἰλικρινὴς γενόμενος καὶ ἐμὲ παῖδα ὄντα καὶ τυφικόν ποτε νούσημα νοσήσαντα νοσηλεύσας». Τοῦ δὲ Κωνσταντίνου πρὶν ἢ ὁ Σουλτάνος τὴν φράσιν περάνειεν δακρύοις καταρρύτου γενομένου ἀπεχωρήσαμεν.

Ἀλλ' ὁ εὔρωστος καὶ χθὲς καὶ πρώην ἀκμαῖος καὶ εὔθυμος γέρων τὸ 77ον τοῦ αὐτοῦ πολυμόχθου καὶ ἐνδόξου βίου αἰσίως ἐληλακὼς ἔτος, αἰεὶ πρωτεύων καὶ τῶν ξυγχρόνων ὁμοτίμων ὑπέροχος, ἤρξατο αἴφνης σκυθρωπάζειν καὶ μελαγχολεῖν τὸ εὐτράπελον καὶ εὔθυμον τοῦ ἤθους καὶ τῶν τρόπων βαθμηδὸν καὶ ἀνεπαισθήτως ὁσημέραι ἀπολλύς, ὡς, τῶν ἑαυτοῦ δυνάμεων ὁσημέραι ἐκλειπουσῶν, τοῦ τέρματος τοῦ ἐνταῦθα βίου, καὶ τῆς προσεγγίσεως τῆς τοὐντεῦθεν ἀποδημίας αἰσθόμενος καὶ βαρέως τοῦτο φέρων.

Καὶ ὄντως, ἀπό τινος χρόνου προσβολαῖς συνεχέσιν ἄγχους τινὸς καὶ δυσπνοίας καὶ μονονοὺκ ἀπνοίας καὶ ἀκαταμαχήτου στενοχωρίας κατείχετο ἐν τῷ τῶν ἀτάκτων τούτων προσβολῶν χρόνῳ οὐδὲν τὸ ἀνώμαλον τῶν ὀργάνων τοῖς ἐπισκεπτομένοις αὐτὸν ἰατροῖς δεικνύς.

Διὸ καὶ ἰατρῶν παῖδες οὐδεμίαν ὡρισμένην ἀτρεκῶς νοῦσον διαγιγνώσκειν δυνάμενοι, οἱ μὲν καρδιακὸν ὀργανικὸν ἀόριστον, οἱ δὲ τὸ μυστηριῶδες ἐκεῖνο, τὸ ἄνευ ὡρισμένων καὶ στεθερῶν ἀνατομικῶν ἀλλοιώσεων πάθημα, ὅπερ τοῦ στήθους συνάγχην καλέειν συνήθως φιλέουσι, πάσχοντα τὸν ἡμέτερον Κωνσταντῖνον, τῷ τέρματι τῆς ζωῆς αὐτοῦ προσπελάζοντα, ἄνευ τοπικῆς τινὸς ὀργάνου, τῶν τῷ βίῳ ἀναγκαίων καὶ τῆς ὀργανώσεως κορυφαίων, ἀλλοιώσεως προσέβλεπον, ἀλλ' ἐκείνης τῆς φυσικῆς, τῆς ἐξ αὐτῆς τῆς τοῦ βίου πολυχρονίου τριβῆς καὶ ἀσκήσεως φύσει τοῖς θνητοῖς τάχιον ἢ βράδιον μοιραίως πως προερχομένης, ἀλλοιώσεως, ἣν ἀνατόμων παῖδες οὐκ ἂν τῷ ἀνατομικῷ μαχαιρίῳ καὶ τῷ ὀξυτάτῳ, καὶ αὐτῷ τῷ μικροσκοπίῳ τῷ τὰ μικρότατα μέγιστα ποιοῦντι καὶ αὐτῇ τῇ μικροσκόπῳ χημικῇ ἀναλύσει, τῇ καὶ τὰ ἴχνη τὰ ἄψευστα τῆς ἀλλοιώσεως ἐν τοῖς ὑγροῖς καὶ στερροῖς ἀνακαλυπτούσῃ, ἀποδείξειαν τοῖς περιέργοις ἀσκληπιάδαις.

Οὕτως οὖν κατὰ τὴν 28 σεπτεμβρίου τοῦ 1879 ἔτους, κατὰ τὴν ὀγδόην πρωϊνὴν ὥραν, τὴν ὕστατον ἐξέπνευσεν ἐκπνοὴν ἄληκτον πένθος τοῖς φιλοστόργοις τέκνοις ὁ φιλόστοργος πατήρ, τοῖς φιλοῦσιν αὐτὸν εἰλικρινῶς φίλοις καὶ συγγενέσιν, ὁ πιστὸς καὶ ἐσαεὶ εὔθυμος καὶ εὐεργετικὸς φίλος καὶ συγγενής, καταλιπών.

Εὐπρόσιτος, εὐπροσήγορος, ἐκδικητικὸς καὶ ἐκ τοῦ συστάδην πολέμιος τοῖς ὑπούλοις καὶ ἀνάνδροις ῥᾳδιούργοις ἐχθροῖς ἄσπονδος, πιστὸς καὶ εὐεργετικὸς φίλος μέχρι βαθμοῦ τινος, τοῦ ὑπὸ τῆς φρονήσεως τῆς φιλαύτου, ἤνπερ παντὶ εὖ φρονοῦντι, μάλιστα κατὰ τὴν ἡμέτεραν τῆς θετικότητος ἐποχήν, ἔμφυτον καὶ ξυνήθη εἶναι χρή, ὡρισμένου, ῥέκτης καὶ τολμηρὸς ἐν τοῖς ἔργοις αὐτοῦ, φιλογενὴς καὶ φιλόμουσος μέχρις ἐνθουσιασμοῦ, ταχὺς εἰς τὸ ἐν ταῖς δυσχερέσι τοῦ βίου περιστάσεσι διέξοδόν τινα τὴν εἰς ὀνήσιμον φέρουσαν τὸ πέρας ἀνευρίσκειν, γενναῖος ἀντίπαλος, τῶν καθηκόντων αὐτοῦ ἀκριβὴς ἐκτελεστής, τῶν τε οἰκογενειακῶν καὶ τῶν ἀστυκῶν, ἐν ταῖς ὁμιλίαις ἡδὺς καὶ εὔθυμος, τοῖς πατρίοις, τῇ πάτρᾳ καὶ τῷ βασιλεῖ πιστὸς καὶ πρὸ πάντων τῆς πατρίου καὶ ἐκκλησιαστικῆς δόξης ζηλωτής,—τοιοῦτος ὑπῆρξεν ὁ Κωνσταντῖνος.

Σ. Σ. ΜΑΥΡΟΓΕΝΗΣ.

Ἡ περὶ συστάσεως λοιμοκαθαρτηρίου κατὰ τὸ 1838 ἐκδοθεῖσα Ῥήτρα (Φετφᾶς)

(Ἴδε σελίδα 12).

Τῶν ἐπισήμων τίτλων καὶ πομπωδῶν προοιμίων ἀφαιρεθέντων, ὡς περιττῶν, ἔχει οὕτως ἡ ῥήτρα.

Αἱ θεόπνευστοι τῆς ἁγίας θρησκείας καὶ τῆς θεολογίας ἀλάνθαστοι βίβλοι ἀποφαίνονται τὸν θεὸν τὸν μέγαν οὕτως, ὥσπερ ἄνευ ἀνάγκης τὸ σύμπαν ποιήσαντα, τοῦτο ὡσαύτως καὶ ἐν ἀκαρεῖ ἐξαφανίσαι δύνασθαι. Καὶ ὅμως ὥσπερ τὰ σημαντικώτερα τοῦ Κορανίου χωρία ἐναργῶς ἀποδεικνύασιν, ὡς ἀποτέλεσμα τῆς μακροθυμίας καὶ προνοητικῆς αὐτοῦ ἀγαθωσύνης, ἅπαντα τὰ ἐν τῷ κόσμῳ γιγνόμενά τε καὶ ὁρώμενα πρὸς ἄλληλα οὕτως ἀλληλουχῆσαι καὶ ξυνδέσαι, ὥσπερ τὸ αἰτιατὸν πρὸς τὸ ἀποτέλεσμα· ἡ δὲ τοιαύτη ἀναγκαία ἀλληλουχία καὶ ξυνάφεια ποιεῖ τό τινα μὲν τῶν πραγμάτων τὴν τῶν μὲν ὕπαρξιν προκαλεῖν, ἄλλα δὲ τὴν ἀνυπαρξίαν καὶ ἐξαφάνισιν τῶν δέ· τοιαύτη δ' ἐστὶ καὶ ἡ σχέσις ἡ τὴν πρὸς τὸν θεὸν δέησιν τῇ σωτηρίᾳ συνάπτουσα, τὸ ἁμάρτημα τῇ παιδείᾳ, τὸ ἐσθίειν τῷ κόρῳ, τὸ ὕδωρ τῇ δίψῃ. Ἐν τῇ παντοδυναμίᾳ αὐτοῦ ὁ Πλάστης, εἰ ἐβούλετο, ἐδύνατ' ἂν τὰ ἐν τῷ Κόσμῳ ὄντα τῶν ἐξωτερικῶν δράσεων καὶ ἐπενεργειῶν ὅλως ἀπαλλάξαι· καὶ ὅμως τοῖς πράγμασιν ἰδιότητας ἐνεφύτευσεν, ἃς ὁ ἄνθρωπος σπουδῇ ἀποφεύγειν ἠνάγκασται, ἁρμοδίοις τοῖς μέσοις χρώμενος, τῆς παντοδυνάμου αὐτοῦ θελήσεως πρὸς τὸ τὰ ἀποτελέσματα ἐφιστάναι μὴ παρεμβαλλομένης, ὥσπερ τοῦτο ξυνέβη τῷ προφήτῃ Ἀβραάμ. Τῆς δὲ τροφῆς ἀναγκαίας οὔσης πρὸς ξυντήρησιν τοῦ ἀτόμου, ὁ ταύτῃ χρῆσθαι ἀποποιούμενος, ὡς δῆθεν τοῦ κρέατος ζῴῳ ἀνήκοντος καὶ τούτου γεύσασθαι ἀποτροπιαζόμενος, ὅπερ ἄλλως ἂν διατίθοιτο, καὶ οὕτω πεῖνης ἂν λιμοκτονοίη, ἀνεγδοιάστως κακουργοίη ἂν οὗτος.

Ὅταν δὲ τὰ ἀποτελέσματα οὐχ οὕτως βέβαια ὦσιν, ὡς τὰ τῆς ἁπάσης τροφῆς καθόλου ἀποχῆς, ὡς ἐν τοῖς φαρμάκοις, ὧν τὰ ἀποτελέσματα μᾶλλον ἢ ἧττον ἀσταθῆ ἐστιν, ὁ μὴ τούτοις ἐν ἐπικαίρῳ χρώμενος οὐ κακουργεῖ μέν, ἀλλ' αἱ τῆς ἱερᾶς θρησκείας ἡμῶν βίβλοι ἀποφαίνονται, ὅτι εἰ τούτοις χρῷτο, τῷ ὀρθῷ λόγῳ καὶ τῇ φρονήσει ὑπείκοιεν. Οἱ ἐν ταῖς βίβλοις τῶν *Τεσαβοὺφ* (تصوف) εἴτουν τῶν ἐμπεπνευσμένων ὑπὸ τοὔνομα *μουστερίχιν* (مستريحين) εἴτουν τῶν ἡσυχαστῶν παριστάμενοι (οὗτοι δὲ εἰσὶν οἱ τῆς θείας Παντοδυναμίας τὰ ἐνδότερα παρεισδύσαντες καὶ εἰς τὰ ἔσχατα τῆς ἀφοσιώσεως ἀφικόμενοι) δύναντ' ἂν ἔστιν ὅτε τὴν ἑαυτῶν ἀτομικότητα ἁπάσης συμπλοκῆς σχέσεως τοῦ αἰτίου πρὸς τὸ αἰτιατόν, τοσούτῳ ὡς πρὸς τὰ πράγματα, ὧν τὰ ἀποτελέσματα βέβαιά ἐστιν, ὅσῳ ὡς πρὸς τὰ λοιπά, ἀπαλλάξαι. Ἀλλὰ τοιαύτη κατάστασις οὐ παντὶ ἁρμοστέα, ἐπειδὴ ἐξ εἰδικῶν συνθηκῶν, ὧν ἄνευ ἡ τοιαύτη οὐχ ὅλως παραδεκτέα, ἐξήρτηται. Διὸ δή, καὶ ἡ βίβλος τοῦ *Τεπγὶρ-ελ-μουχαρὶμ* (تنبيه المحارم) τῆς ἐξηγήσεως τῶν ἀποτρεπομένων, ἀποφαίνεται, ὅτι οἱ μὴ ἅγιοι, οἱ εἰς προσκύνησιν τῶν ἁγίων τόπων ἐξιόντες καὶ τὰ ἐφόδια μὴ ξυμπεριλαμβάνοντες, τὴν ζωὴν τὴν ἑαυτῶν εἰς κίνδυνον ἐκτιθέασιν. Ὁ δὲ ἰμάμης *Γαζαλῆ* ἐν τῇ αὐτοῦ Βίβλῳ τῇ ἐπονομαζομένῃ *Ἐχιὰλ-οὐλ-οὐλοὺμ* (احيال العلوم) «Ζωοποίησις τῶν ἐπιστημῶν» προκηρύττει ὅτι τὸ τῆς πρὸς τὴν προσκύνησιν ὁδοῦ ἄνευ ἐφοδίων ἅψασθαι ἀτρεκῶς ἀπηγόρευται, δύω περιστάσεων ἐξαιρουμένων, ὧν ἡ μὲν ἐστὶ τὸ *Μουδζαχεδὲ* (مجاهد) ὅπερ ἐστὶν ἡ τοῦ σώματος ἄσκησις εἰς τὸ τὴν ἀσιτίαν φέρειν, οὕτως, ὥστε τὴν πεῖναν τὴν καρδίαν μὴ ξυνταράττειν, ἡ δὲ ἡ ξυνήθεια τοῦ βοτάνοις τρέφεσθαι, περιστάσεις τοῖς τελείως μόνον ἀφωσιωμένοις ἁρμόσταί, οὓς Ἀράβων παῖδες *Μουτεβεκιλίκιαμίλλη* (متوكلين كاملين) καλέουσιν. Οὕτως ἡμῖν τοῖς πιστοῖς, τοῖς τοῦ προφήτου Μωάμεθ ὀπαδοῖς, ἐναπόκειται συνεπῶς, ἐν παντί, πρὸς τὰ ἰδιάζοντα μέσα προστρέχειν, ἐσαεὶ τελείᾳ ἀφοσιώσει, ὅσον σθένος, πρὸς τὸ θεῖον ἐμπνεόμενοι, ἐπειδὴ καὶ αὐτὴ ἡ δύναμις τοῦ πρὸς τὰ μέσα προσφεύγειν καὶ τούτοις ἀποτελεσματικῶς χρῆσθαι ἐστὶν ἀκραιφνὴς ἀπόρροια τῆς ἀγαθότητος καὶ τῆς συγκαταβάσεως τῆς θείας, καὶ ὁ τρόπος οὗτος τοῦ ἐνέργειν οὐδόλως ταῖς ἀρχαῖς τῆς πρὸς τὸν Κύριον τελείας ἀφοσιώσεως ἀντιβαίνει. Ὁ δὲ περικλεὴς ἰμάμης *Φαχρ-εδδὶν-Ῥαζῆ* ἐν τῇ τῶν *Ἰχτιγιαρὰτ* (احتياجات) τὰ τῆς ἐλευθέρας θελήσεως ἀποτελέσματα ἀνυψῶν ἀποφαίνεται, ὅτι τῆς τοῦ ἀνθρώπου δυνάμεως μὴ δυναμένης οὔτε μικρὸν ταῖς τῆς θείας Προνοίας βουλαῖς ἀντιστῆναι, καὶ ταύτας οὐδόλως περιορίζειν, τῷ ὀρθῷ καὶ ὑγιεῖ λόγῳ ἐναντίον ἐστὶ τὸ τὴν θείαν παντοδυναμίαν προβάλλειν πρὸς τὸ μὴ ἐσθίειν τὸν πεινῶντα, καὶ μὴ πίνειν τὸν διψῶντα, καὶ μὴ φαρμάκοις χρῆσθαι τὸν νοσοῦντα, καὶ τὰς εὐνόους στιγμὰς μὴ ἀναζητεῖν τὸν ἐπιχειρίσεώς τινος ἀπτόμενον.

Ἡ οὖν τοσάκις τὰς τοῦ ὀθωμανικοῦ κράτους ἐπαρχίας κατερημώσασα νοσηρὰ μάστιξ εἰς ἐκείνην τὴν τῶν νούσων, κατὰ τοὺς δοκιμωτέρους τῶν ἰατρῶν, ἀνήκει τάξιν, τὴν τῶν διὰ τῆς ἁπαφῆς διαδοσίμων, ἃς καὶ λοιμώδεις ἰδίᾳ ἰατρῶν παῖδες ἀποκαλέουσιν, διὰ τὸ τὸν λοιμὸν αὐτὸν τὴν πρωτίστην τῶν οὕτω διαδοσίμων νούσων εἶναι. Τοιαῦται δέ τινες εἰσὶν ἡ λέπρα (;) ἡ εὐφλογία κτλ. *Χαδὶς* (حديث λόγος) τι τοῦ προφήτου, ὑπὸ τοῦ *Βουχαρὶ* (بخارى) ξυνειλεγμένον, διατάσσει τῷ λεπρῷ οὕτως ὡς τῷ λέοντι προσφέρεσθαι· οἱ δὲ ἑρμηνευταὶ λέ-

γουσι τὴν λέπραν[1] διαδόσιμον ὡς τὸν λοιμὸν καὶ ἄλλην οἱανδήποτε τοιούτου εἴδους νόσον εἶναι ξυγχωρήσαντες ταύτης σπουδῇ προφυλάττεσθαι.

Ἔστι δ' ἀληθές, ἕτερον *χαδὶς* σημαίνειν, μὴ προσήκειν ἐκ τούτου λογικῶς συμπεραίνειν, τὸ περὶ ἑνός τινος λεγόμενον, ἅπαντι τῷ γένει, ὑφ' ὅπερ τοῦτ' ἀνῆκεν, ἐφαρμόζεσθαι δύνασθαι. Ἀλλ' ὁ κανὼν οὗτος οὐκ ἀλλαχοῖ ποι σκοπεῖ προφανῶς ἢ εἰς τὸ ἀποτρέψαι τοῦ ἐκ τῶν γενικοτήτων, αὐθαιρέτους καὶ ἀδικαιολογήτους ἐφαρμογὰς κατὰ πᾶν εἶδος ποιεῖν. Οὕτω τὰ δύο ταῦτα τοῦ χαδὶς ὅλως ξύμφωνα συμβιβάζεται, καὶ ἀντίφασις ἐν τούτοιν οὐκ ἂν εὑροιτο. Τοῦτο δὲ τέλεον, ἀπὸ τοῦ περικλύτου Ἰμάμη τοῦ ἐκ τῶν *χαναφὶ-επ-ι-νουδζὶμ* (ابن نجيم) τοῦ ἐν τῇ αὐτοῦ βίβλῳ τῇ *Ἐσβὰχ-βὲ-χαζαὶρ* (اسبا و حظائر αἱ ἀμφιβολίαι καὶ αἱ σκέψεις) ἐπιγραφομένῃ, λήροντος, ὅτι οἱ περιφημότεροι διαλεκτικοὶ ἀναγνωρίζουσι, σεισμοῦ τὴν γῆν ἐκ βάθρων συσσείοντος, ξυγκεχωρεῖσθαι τοῦ οἴκου, οὗ ἂν εὑροιτό τις, ἐξελθεῖν, καὶ παρ' οἶκον ἑτοιμόρροπον τὸν διαβαίνοντα, τὸ βῆμα ἐπιταχῦναι, καὶ μέχρι τοῦ ἐπικαλεῖσθαι τὴν τῶν ἰατρῶν συμβουλήν, τῶν ἀποτρεπόντων λοιμοῦ ἐνσκήψαντος εἰς τὴν ἀγορὰν προβαίνειν, ἀποδείκνυται: *βὲ μὶρ ελ ἐδιλὲτ ἐδδαλετι ἀλᾶ μεσχρουγιέτι ἐδδεβαὶ βὲ τε χαζούρι φῆ ἐγιὰμ ελ βεμπαὶ μὶρ οὐμούρι ἐβσαμπεχὰ χουζαὶχ οὔλ ἀττιμπάι* ومن الادلة الة التى على مشروعيت الدواى و التحرز فى ايام الوبا من امور اوص بها حذاق الاطبا ὅπερ ἐστὶ μεθερμηνευόμενον: τοῦ λοιμοῦ που ἐπιδημοῦντος, τὸ ἀσχολιῶν τινων τῶν τοὺς ἀνθρώπους ξυγχρωτιζουσῶν ἀπέχειν, καὶ τοῖς ἁρμοδίοις φαρμάκοις πρὸς θεραπείαν χρῆσθαι, κατὰ τὰ τῶν δοκίμων ἰατρῶν παραγγέλματα, τοῖς ἱεροῖς τοῦ Ἁγίου Κορανίου νόμοις μὴ ἀντιβαίνειν, τοῦτο ἐκ τῆς ῥήτρας ταύτης καταφαίνεται.

Συνελόντι δὲ φάναι, πρόδηλόν ἐστιν ὅτι ἡ τῆς ὑγείας προφύλαξις μέριμναν ἀπαιτεῖ, πρὸς τὴν τοῦ σώματος ξυντήρησιν, ὅτι ἡ τοῦ σώματος ξυντήρησίς ἐστιν ἡ πρωτίστη τῆς τοῦ πληθυσμοῦ αὐξήσεως αἰτία καὶ αὐτὴ τὴν ὑλικὴν εὐπορίαν, τὴν τοῦ ἐμπορίου πρόοδον καὶ τὴν τοῦ κράτους οἰκονομολογικὴν δύναμιν αὐξάνει. Οὐδὲν δὲ τὸ βλαβερώτερον ἂν εἴη κοινωνίᾳ τινί, ἢ τὸ καθορᾶν γενεὰς πλήρεις ζωῆς ὁλοκλήρους, ὧν περ ἡ συντήρησις τοῦ Κράτους ἐπισπερχεστέρα μέριμνα ἂν εἴη, ὑπὸ τῆς νόσου ἐξαρανιζομένας. Καὶ τοῦτο δὲ ἀναμφισβήτητόν ἐστιν, ὅτι αἱ φυσικαὶ προδιαθέσεις, κατὰ τὴν τῶν ἐμπείρων ἰατρῶν γνώμην, μέγα συνεισβάλλουσιν εἰς τὸ τὰς νόσους ἀναπτύσσεσθαι, ἀλλὰ καὶ διὰ τῆς πείρας γνωστόν ἐστιν, ὅτι ὑπάρχει μέσα, τὰ τὰς σωτηρίους τοῦ ἀνθρώπου προδιαθέσεις, τὰς ἀπὸ τῆς νόσου σωζούσας, προφυλάττοντα. Ἀνάγκη ἄρα, τοῖς προφυλακτικοῖς χρῆσθαι μέσοις, πεποιθότα, τὴν τῶν μέσων τούτων, οἷς ἂν τις προσδράμοι, ἐνέργειαν, ἀεὶ τῆς τοῦ Θείου βουλῆς ἐξηρτῆσθαι, καὶ τοὺς ἀφοσιώσεως τῆς τελείας μετόχους, λέγοντας τοῦ λοιμοῦ προφυλάττεσθαι μὴ ἐξεῖναι, ἐκτὸς τῶν ὀθοῤῥονούντων θεωρεῖν καὶ πρὸ πάντων, ἐπειδή, ξυμβουλίου μεγάλου ἐν τῇ Ὑψηλῇ Πύλῃ πρὸ μικροῦ συγκροτηθέντος, οἱ ἐπιφανέστατοι τῶν οὐλεμάδων ἀπεφάνθησαν διαῤῥήδην, ὅτι, ὡς ἐν τῷ Σεριὰτ νενόμισται, οὐκ ἀνάρμοστον κατὰ τοῦ λοιμοῦ εἰς μέσα προφυλακτικὰ προστρέχειν. Ἐπὶ τῇ βάσει ταύτῃ Φετφᾶς ἐξεδόθη, λέγων, ὅτι ἐπί τινος χώρας τοῦ λοιμοῦ ἐνσκήψαντος, ἄτοπον οὐκ ἔστι, τὴν θεομηνίαν φεύγοντα, καὶ εἰς τὴν τοῦ Θεοῦ εὐσπλαγχνίαν προστρέχοντα, τοῖς προφυλακτικοῖς χρῆσθαι μέσοις. *Μπὶρ μπε.δεγιὲ Ταοὺν ισαμπὲτ ιτοὺπ χὰκ σουμπχαρὲ χοῦ βὲ Ταά.λια χαζρετ.λερηὶν καχριτὰν λουτφουνὲ ι.λτιτζᾶ ι.λὲ ἐσμπάμπι τεχαφουζᾶ τεσεμποὺς ἐτμεκδέ μπεῖς* يز بلدمه ضاعون اصابت ايدوب حق سبحانه و تعالى حضرتلرينك قهرندن لطفه التجا ايله اسباب تحفظه شبث ايتكده باكى يوقدر.

Κατὰ συνέπειαν τούτου ὁ γαληνότατος καὶ σεβαστὸς ἄναξ καὶ κύριος ἡμῶν, ὁ μέγας Πατισάχ, ὁ τὰς τῶν δύω Ὁμὰρ ἀρετὰς ἑνῶν ἐν αὐτῷ, ὁ ἀνομορῥωτὴς τοῦ αἰῶνος, ὁ ἐπικυρωτὴς τῆς δόξης τῶν τῆς πίστεως ἀθανάτων στηλῶν, ὁ Χαλὶφ τοῦ Προφήτου τοῦ Θεοῦ τοῦ σύμπαντος, ὁ φωτεινὸς ὡς ἀστραπή, οὗ ἡ δόξα ἐν τῷ σώματι αὐτοῦ εἴη αἰώνιος μέχρι τῆς ἡμέρας τῆς δευτέρας παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος, τῇ τοῦ Θεοῦ ἀγαθότητι καὶ εὐσπλαγχνίᾳ θαρρῶν καὶ μόνον μέλημα ἔχων τῇ τοῦ Κράτους καὶ τῶν λαῶν αὐτοῦ ξυντηρήσει καὶ εὐδαιμονίᾳ ξυμφέρειν, διετάξατο τὰ ὑπὸ τῆς χρονίας πείρας ὡς σωστικὰ ἐνδειχθέντα μέσα, τὰ ὑπὸ τὸ ὄνομα καθάρσεως (Quarantaine) γνωστά, ἅπερ ἀληθῶς ἔκτινων μέτρων καθαριότητος καὶ φαρμακεύσεως συνίστανται, καὶ ἠθέλησεν ἀμέσως ἅπαν τὸ ταῦτα ἐκπληροῦν διαπράξασθαι, συμφώνως τῷ τε τοῦ Σερῆ-Σερὴφ ἱερῷ νόμῳ καὶ τοῖς ἐθίμοις καὶ ἤθεσι τῶν κατοίκων. Εἰδικὸς δὲ ὡς πρὸς ταῦτα δημοσιευθήσεται κανονισμός. Πάντες οἱ καὶ ἀκροθιγῶς ὑπὸ τοῦ ὀρθοῦ λόγου φωτιζόμενοι, εὐμαρῶς ἐννοήσουσιν, ὅτι νέα ἔνδειξις τῶν εὐνόων διαθέσεων τῆς Αὐτοῦ Μεγαλειότητος αὕτη ἐστί, καὶ τοῦ κανονισμοῦ τὰ συνετὰ παραγγέλματα μετὰ τοσαύτης σπουδῆς ἐκπληρώσουσι, μεθ' ὅσης χρεωστοῦσι τοῖς ἠθικοῖς χρῆσθαι μέσοις, οἷον ταῖς δεήσεσι, τῇ ὑπακοῇ, τῇ τῶν ἁμαρτιῶν ἐξαγνίσει κτλ. Ὅστις δ' ἂν τολμήσειεν εἰπεῖν, ὅτι ταῦτα νεωτερισμός ἐστι, τρανῶς ἀποδείξει τὰς εὐεργεσίας τῆς Α. Μ. μὴ ἐννοεῖν, ἐπειδὴ τὰ βλέμματα αὐτοῦ ἐπὶ τῶν μεγάλων λεπροκομείων, τῶν ὑπὸ τῶν ἀρχαίων Σουλτάνων ἱδρυθέντων, καὶ ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει, στρέψας, ἃ Ταβουχανὲ ὠνόμαζον, καὶ ὑπ' ὄψιν λαβὼν τὸν μέγαν ἀριθμὸν τῶν ἀποδείξεων τοῦ Σερῆ καὶ τῆς λογικῆς τῶν ὑπὲρ τῶν ἱδρυμάτων τούτων τῶν φιλανθρώπων αὐτόχρημα λαλούντων, ἀπατωμένου ἑαυτοῦ καταγνώσεται.

Συμπεραίνοντες λέγομεν, ὅτι ὅστις ἂν τοιαύταις ἀτόποις ἐπικρίσεσι περιπέσειεν, ἐκτὸς τῆς δικαίας ποινῆς, ἣν ἀδυσωπήτως ὑποστήσεται, ὡς τῷ ὑψηλῷ τοῦ Σουλτάνου διατάγματι ἀντιστρατευόμενος, ὅλως τῷ τῆς θρησκείας Φετφᾷ συμφώνῳ, σπουδῇ ἀδιαλλάκτῳ καταδιωχθήσεται καὶ αὐστηρῶς τιμωρηθήσεται φωραθείς[1].

1) Τὸ τοῦτο, τὸ τὴν λέπραν καὶ λέπραν τῶν Ἑλλήνων, πρὸς διάκρισιν τῆς λέπρας τῶν Ἀράβων, ταύτης τῆς ἐλεφαντιάσεως οὔσης, ὑπὸ τῶν ξυγχρόνων δερματοπαθολόγων ὀνομαζομένην, διαδόσιμον διὰ τῆς ἁφῆς ἢ ἄλλου τινὸς τῆς μεταδόσεως μέσου εἶναι, ἐσφαλμένον, κατὰ τὴν τῶν νεωτέρων ἰατρῶν, τῶν ἐν ταῖς δερματοπαθείαις εἰδημόνων, κρίσιν, ὅλως ἐστί, τὴν νοῦσον ταύτην τὴν δερματικήν, τὴν κατὰ τὰ ἐκ τῶν παρανόων καὶ δεισιδαιμόνων σταυροφοριῶν ἀνήκεστα δεινὰ ἔν τε Εὐρώπῃ καὶ Ἀσίᾳ, ὑπὸ τῆς βαρβαρότητος τῶν ὠμῶν εὐρωπαίων στιφῶν, ἐπὶ τῶν ἡμετέρων μάλιστα τόπων θεομηνίας δίκην ἐνισχύσαντα, γεννηθεῖσαν καὶ μέχρι τῶν ἡμετέρων ἡμερῶν ἔν τισι τῆς ἐσχατιᾶς τῆς Εὐρώπης ἐναλίοις μάλιστα μέρεσι καθ' ὅλα χωρία ἐνδημοῦσαν καὶ ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει, κατὰ τὴν Χρυσοῦπολιν, πέραν τοῦ Βοσπόρου, ἀντικρυ τοῦ Ἄστεως, παρὰ τῷ τῆς Α. Φρουρᾶς κεντρικῷ νοσοκομείῳ καὶ ὄπισθεν αὐτοῦ, ἐν ἰδιαιτέρῳ οἰκήματι Μ ι ν σ κ ὶ ν-χ α ν ὲ (λεπροκομείῳ) καλουμένῳ, καὶ ἐν ὅλαις εὐαρίθμοις οἰκογενείαις διατηρουμένην, γλίσχρως ὑπὸ τῆς Α. Κυβερνήσεως διατρεφομέναις, ὡς τῶν ἀπόρων λεπρῶν, ἀκρίβων δίκην, ἐπὶ τῶν περιεργείας χάριν ἔστιν ὅτε ἐπισκεπτομένων ἰατρῶν τε καὶ ἄλλων ξένων φωναῖς καὶ δεήσεσιν ἐπαιτούντων, ἐπιπιπτόντων, διὰ τῆς κληρονομικῆς μόνον ὁδοῦ ἀπὸ τῶν γονέων εἰς τὰ τέκνα μέχρι τῆς σήμερον ἀπὸ τοῦ Μαισαιῶνος πρὸς ὄνειδος τῆς βαρβαρότητος σωζομένην. Ἔν τισι δὲ νησιώτισι πρὸ πάντων χώραις, ὡς ἐν Χίῳ, Κρήτῃ κτλ. οἱ λεπροὶ χωρία τινὰ ὁλόκληρα ἀποτελοῦσιν, ἐν δὲ τῷ ἐν τῷ Χαϊδὰρ-πασσᾷ κυπαρισσῶνι λεπροκομείῳ, γυναικῶν καὶ ἀνδρῶν λεπρῶν ὑπαρχόντων καὶ ἀλλήλοις κατὰ τὸν νόμον τὸν ἰσλαμικὸν τὸν αὐστηρῶς διατάττοντα, ἅπαντα ἄνθρωπον οὐδόλως καὶ οὐδέποτε ἄγαμον βιοῦν προτήκειν, μετ' ἀλλήλων εἰς γάμου κοινωνίαν ἐρχομένων ἀπ' ἀρχῆς μὲν τὸ φαινόμενον ὑγιᾆ τέκνα παράγουσιν, ἔπειτα δὲ τῆς ἐφηβικῆς μόλις παραλλαχθείσης ἡλικίας, τὰ εἰδεχθῆ τῆς λέπρας ὀγκώματα τὰ μετά τινα ἔτη φλογιζόμενα, ἐμπυούμενα καὶ τὰ ἄκρα πρὸ πάντων φθείροντα, ὑπ' ἀναισθησίας καταβαλλόμενα αὐτομάτως ἐκκόπτονται, οἰκτρὸν καὶ ἀπεχθὲς θέαμα τοῖς θεωμένοις παρέχοντα, μέχρις οὗ τῆς λύμης καὶ τὰ ἔσω τῇ ζωῇ ἀναγκαῖα ὄργανα προσβαλούσης τοῦ ἀβιώτου βίου ἀπαλλάττονται· τέλος οἱ τάλανες λεπροί.

1) Ταχβίμι Βακαὶ ἐπίσημος Μηνύτωρ τῆς Ὀθωμανικῆς Λύτοκρατορίας τῆς 11 τοῦ Σεφὲρ σεληνιακοῦ μηνὸς 1254 τῆς Ἐγίρας (1838).

Ὁ δέ, περὶ οὗ ἦν ἄνωθεν λόγος, Κανονισμὸς ἐδημοσιεύθη ὡσαύτως ἐν τῇ αὐτῇ ἐφημερίδι τῆς 16 τοῦ Δζεμαζὴ-οὐλ-ἐββὶλ τοῦ αὐτοῦ ἔτους.

ΤΑ

ΕΚΑΤΟΝ ΑΠΟΦΘΕΓΜΑΤΑ ΤΟΥ ΑΛΗ.

('Ανεγνώσθη ἐν ταῖς ΦΠΓ' καὶ ΧΙΓ' Συνεδριάσεσι).

Ἡ μὲν πραγματεία[1] περὶ τῶν ἑκατὸν ἀποφθεγμάτων ἢ παροιμιῶν Ἀλῆ τοῦ Καλίφου. Προαιρούμεθα δὲ μᾶλλον ὀνομάζειν αὐτὰ παροιμίας ἢ ἀποφθέγματα τῶν Σολομῶντος ἕνεκα τοῦ βασιλέως, αἳ τῆς αὐτῆς κἀκεῖναι τετυχήκασι προσηγορίας. Παροιμίαι γὰρ καλοῦνται Σολομῶντος. Ἔστι δὲ παροιμία παρὰ τὸ *πάροιμος* τ. ἔ. ὁ παρὰ τὸν οἶμον (ὁδὸν) ἢ ὁ ἐν ταῖς ὁδοῖς λαλούμενος λόγος, καὶ τοιαύτην ἔχειν δοκεῖ παρὰ τοῖς ἀρχαίοις ἡ λέξις σημασίαν, ὡς φησι καὶ Βασίλειος ὁ Μέγας ἐν ἀρχῇ τῆς εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν Ὁμιλίας: «Τὸ τῶν παροιμιῶν, λέγων, ὄνομα ἐπὶ τῶν δημωδεστέρων παρὰ τοῖς ἔξωθεν τέτακται λόγων καὶ ἐπὶ τῶν ἐν ταῖς ὁδοῖς λαλουμένων ὡς τὰ πολλά· οἶμος γὰρ παρ' αὐτοῖς ἡ ὁδὸς ὀνομάζεται, ἐξ οὗ καὶ τὴν παροιμίαν ὡρίζοντο ῥῆμα παρόδιον τετριμμένον ἐν τῇ χρήσει τῶν πολλῶν καὶ ἀπὸ ὀλίγων ἐπὶ πλείονα ὅμοια μεταληφθῆναι δυνάμενον». Παρὰ μὲν οὖν τοῖς ἐκκλησιαστικοῖς ἑτέραν ἡ λέξις ἐμφαίνει σημασίαν καθ' ἃ φησιν ὁ αὐτὸς Πατὴρ ἐν τῷ αὐτῷ χωρίῳ: «Παρὰ δ' ἡμῖν ἐστι λόγος ὠφέλιμος ἡ παροιμία μετ' ἐπικρύψεως μετρίας ἐκδεδομένος, πολὺ μὲν τὸ αὐτόθεν χρήσιμον περιέχων, πολλὴν δὲ καὶ ἐν τῷ βάθει τὴν διάνοιαν συγκαλύπτων· ὅθεν καὶ ὁ Κύριος: ταῦτα ἐν παροιμίαις λελάληκα». Προαιρούμεθα τοίνυν, ὡς περ εἴρηται, τὴν λέξιν τῶν ἄλλων, αἷς ἄν τις εἰς ταὐτὸν ἐχρήσατο, διά τε τὸ τῶν ἐνόντων ἔστιν ὅτε ταῖς τοῦ Σολομῶντος παρεμφερὲς καὶ διὰ τὸ συγγενὲς καὶ δὴ καὶ τὸ περιφανὲς καὶ τὸ ἀξίωμα τῶν γραψάντων, ἡγεμόνες γὰρ ἄμφω καὶ Σῦροι τὸ γένος. Καὶ παρὰ τοῖς Ἕλλησιν δὲ σοφοῖς ἐνομίσθη σοφὸν ἡ παροιμία καθ' ἃ φησι Συνέσιος (ἐν Ἐγκωμίῳ Φαλάκρας σελ. 85 B) Ἀριστοτέλη φάναι τὸν φιλόσοφον ὅτι παλαιᾶς εἰσι φιλοσοφίας ἐν ταῖς μεγίσταις ἀνθρώπων φθοραῖς ἀπολομένης ἐγκαταλείμματα, περισωθέντα διὰ συντομίαν καὶ δεξιότητα. Καὶ ταῦτα μὲν ταύτῃ.

Ἐπεὶ δὲ περὶ τῶν Ἀλῆ τοῦ Καλίφου, τοῦ Βὲν-Ἀβὶ-Ταλὶβ ἢ Ἀβιταλιβίδου τὴν ἐπίκλησιν, παροιμιῶν ἡμῖν ὁ λόγος, διασαφητέον ἡμῖν, ὡς τὸ εἰκός, τὰ κατὰ τὸν ἄνδρα διὰ βραχέων, ἴσως οὐ πάνυ τοῖς πᾶσιν ὑπάρχοντα γνώριμα. Ἐγεννήθη μὲν ὁ Καλίφης οὗτος τῷ 602 τῆς Οἰκονομίας ἔτει, γεγόμενος δὲ τῶν Μωχαμμέδου θιασωτῶν ὁ πιστότατος καὶ ἀνδρειότατος, καὶ «πρῶτος Μωχαμμεδανὸς» ἤ, καθάπερ εἴθισται λέγειν, μωαμεθανὸς ἐπικληθείς, κατεστάθη μετὰ τὴν Ὀθμάνου τῷ 655 δολοφονίαν τέταρτος εἰς τὴν καλιφείαν ἤτοι τὴν τῆς βασιλείας διαδοχήν· τοῦτο γὰρ ἡ λέξις (خَلِيفَة = διαδοχή, خَلِيفَ = διάδοχος) παρ' Ἀραψὶ δύναται. Καὶ ἐκράτησε μὲν τῶν, ἡγουμένης τῆς Ἀϊσᾶς, τῆς Μωχαμμέδου χήρας, πρὸς τιμωρίαν δῆθεν τοῦ Ὀθμάνου φόνου τὸ πρῶτον ἐναντιωσαμένων αὐτῷ μεγιστάνων. Ἐπαναστάντος ὅμως ὕστερον οὐ πολλῷ τοῦ τὴν Συρίαν διοικοῦντος Μωαβίου καὶ δεινοῦ γενομένου πολέμου, ἐξ οὗ κατηρημώθη ἡ χώρα, τρεῖς τῶν Κορεϊσχιτῶν ἀμφοτέρους ἔγνωσαν ἀνελεῖν τοὺς τοῦ πολέμου αἰτίους. Ὁ μὲν οὖν Μωαβίας καίπερ τρωθεὶς οὐκ ἐτελεύτησεν, ὁ δὲ Καλίφης ἀνῃρέθη πρὸς τὸ ἱερὸν ἐπὶ προσευχῇ πορευόμενος. Καὶ ἕως μὲν ἦρχον οἱ Ὀμμιϊάδαι καλούμενοι, τῶν Καλιφῶν, ἐπικατάρατος ἦν αὐτῷ ἡ μνήμη, ἐτιμήθη δ' αὖθις ὕστερον, τῶν Ἀββασιδῶν εἰς τὴν ἀρχὴν καταστάντων. Οἱ δὲ προσανακείμενοι τῷ Ἀλῇ τῶν Μωχαμμεδανῶν, ἐπικρατοῦσιν ἔτι καὶ νῦν ἐν Περσίᾳ τε καὶ Ταταρίᾳ. Τὰ μὲν οὖν κατὰ τὸν Καλίφην, ὡς συντόμως εἰπεῖν, οὕτως ἔσχε.

Τῶν δὲ παροιμιῶν τὴν συλλογὴν ἐξέδωκεν ἄριστα πάντων ὁ μακαρίτης, κλεινὸς τοῦ ἐν Λειψίᾳ πανεπιστημίου καθηγητής, Μαυρίκιος Ἐρρῖκος Λεβερέχθος Φλέϊσχερος, οὗ καὶ αὐτός ποτ' εὐτυχῶς τῶν ἀσιατικῶν διήκουσα μαθημάτων. Συνέλεξε δὲ ταύτας καὶ παραφράσας ἀραβιστί τε καὶ περσιστὶ διεσάφησε τὸ πρῶτον ὁ Πέρσης ποιητὴς Ῥεσχιδουδδὶν-Ἀβδουλζελίλης, ὁ *Οὐατουάτης* ἐπικαλούμενος, ὃς τούτων ἑκάστῃ καὶ δίστιχον ἐπέταξε περσικὸν τὴν αὐτὴν περίπου φράζον ἔννοιαν. Ἐπιχειρήσας οὖν τῇ πραγματείᾳ, τελείαν μὲν αὐτὴν ὡς οἷόν τε καὶ ἀκριβῆ τῇ τῶν ὁμοίων παρ' ἄλλοις ἔθνεσι παροιμιῶν τε καὶ ῥήσεων ἀντιπαραβολῇ διενοούμην καταστῆσαι, τοῦ μέν τοι χρόνου διὰ τὸ βραχὺ οὐκ ἐῶντος, ἐς ὕστερον ἀναβαλλόμεθα σὺν Θεῷ, καὶ τῶν φίλων ἀκροωμένων εὐδοκούντων, τὴν τῶν ἐλλειπόντων ἀναπλήρωσιν.

Εἰσὶ δ' αἱ τοῦ Καλίφου ἢ γοῦν εἰς ἐκεῖνον ἀναφερόμεναι παροιμίαι πᾶσαι αἱ μὲν θρησκευτικῆς τινος, αἱ δ' ἠθικῆς ἐννοίας, καθάπερ αἱ τοιαῦται καθόλου παρὰ πᾶσι μὲν τοῖς ἔθνεσιν, ἰδίᾳ δὲ παρὰ τοῖς Ἀσιανοῖς, τῷ τοιούτῳ διαφερόντως εἴδει τοῦ λόγου χαίρουσι. Χωρητέον οὖν εἰς τὸ ἔργον.

Παροιμια 1)

لَوْ كُشِفَ ٱلْغِطَاءُ مَا ٱزْدَدْتُ يَقِيناً

Καὶ ἀρθέντος τοῦ καλύμματος, οὐκ αὔξεταί μοι ἡ ἐπίγνωσις.

Τοῦτ' ἔστι (κατὰ Οὐατουάτην): ἐς τοσοῦτον ἠκρίβωταί μοι τὰ τοῦ βίου τοῦ μέλλοντος, ὥστε καὶ ἀρθέντος ποτὲ τοῦ τῇδε τῆς ζωῆς παραπετάσματος, οὐδὲν ἡ ἐποπτεία αὐξήσει μοι εἰς ἐπίγνωσιν.

حال خلد و جحيم دانستم

يقين انچنانكه مى بايد

كه حجاب ازميانه بر كيرند

آن يقين ذرّة نيفزايد

Οἱοι τυγχάνουσιν ὄντες ὁ παράδεισος καὶ ὁ ᾅδης οἶδα σαφῶς, ὡς περ προσήκει. Καὶ ἀρθέντος δὲ τοῦ καλύμματος, οὐδὲν αὐτοὺς ἀκριβέστερον εἴσομαι.

2) ٱلنَّاسُ نِيَامٌ وَإِذَا مَاتُوا ٱنْتَبَهُوا

Νὺξ μὲν οἱ ἄνθρωποι καθεύδουσιν, ἐπειδὰν δ' ἀποθάνωσιν, ἐγείρονται.

Τ. ἔ. ἕως μὲν οἱ ἄνθρωποι ζῶσιν, ἀφροντιστοῦσι τῶν μετὰ θάνατον· ἐπὴν δ' ἀποθάνωσι, μεταγινώσκουσι μέν καὶ ἀνιῶνται, εἰκῇ δὲ τοῦ λοιποῦ καὶ ἀνόνητα.

مردمان غافلند ازعقبى

همه كورى بخفتكان مانند

ضرر غفلت كه مى ورزند

چون بميرند آنكهى دانند

Ἀφροντιστοῦσιν οἱ ἄνθρωποι τοῦ μέλλοντος βίου· εἰπέρ ἄρ τις αὐτοὺς καθεύδειν· ἀλλ' ἐπειδὰν ἀποθάνωσι, τὴν τῆς ἀφροντιστίας εἴσονται ζημίαν.

3) ٱلنَّاسُ بِزَمَانِهِمْ أَشْبَهُ مِنْهُمْ بِآبَائِهِمْ

Οἱ ἄνθρωποι τοῖς καθ' οὓς βιοῦσι χρόνοις ἐμφερέστεροι τυγχάνουσιν ὄντες ἢ τοῖς πατράσι.

Τ. ἔ. οἱ ἄνθρωποι μᾶλλον ἔπονται τοῖς ἤθεσι τῶν καθ' ἑαυτοὺς ἢ τοῖς τῶν πατέρων, καὶ τοῖς μὲν εὐπραγοῦσιν εὐμενῶς διάκεινται, τοῖς δὲ δυσπραγοῦσιν οὐχ ὁμοίως· ἀνάλογον δέ πη τὸ παρ' Ὁμήρῳ (Ὀδ. Σ 136—7).

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

خلقرا نيست سيرت پدران

همه بر سيرت زمان روند

دوستند آنكهرا زمان نواخت

دشمنند آنكهرا زمان فكند

Οὐ τοὺς πατέρας οἱ ἄνθρωποι μιμοῦνται τοὺς ἑαυτῶν, ἀλλὰ τοὺς καθ' ἑαυτούς· φίλοι μέν εἰσιν οἷς ἡ τύχη φίλα φορεῖ, δυσμενεῖς δὲ οὓς ἐξεφαύλισε.

4) ماهلك انرا عرف قدره

Οὐκ ἀπέθανεν ἀνὴρ ὁ τὴν ἑαυτοῦ γνοὺς ἀξίαν (τὴν ἰδίαν ἀρετὴν καὶ τὴν ἐπιστήμην).

Τ. ἔ. Ὁ τὴν ἰδίαν ἀξίαν εἰδὼς ὑψοῦ παρὰ πάντα τὸν βίον ἔστηκεν ἐπὶ τῆς τιμῆς, τὴν τῆς ἱερότητος χλαμύδα περιβεβλημένος· οὐδείς αὐτὸν ἀνιᾷ οὐδ' ἀπειλεῖ.

هر كه مقدار خويس‌را بشناخت

از همه حادثات ايمن كشت

از مضيق غرور بيرون جست

درمقام سرور ساكن كشت

Ὁ τὴν ἑαυτοῦ γνοὺς ἀξίαν παντὸς ἀπήλλαχται κινδύνου καὶ τῆς ἀπάτης ἐξελθὼν εὐφροσύνης τὸ λοιπὸν ἀπολαύει.

5) قِيمَةُ ٱمْرِئٍ مَا يُحْسِنُهُ

Ἀξίαν ἔχει πᾶς τις ὅσην καὶ νόησιν.

Τ. ἔ. Ὅσῳ τινὶ μείζων ἡ γνῶσις, τοσούτῳ καὶ ἡ παρὰ τοῖς ἄλλοις ἀξία· καθόλου δὲ τῇ ἐπιστήμῃ τοῖς ἀνθρώποις μετρητέον τὴν ἀξίαν.

---

1) Τὸ δεύτερον ἥμισυ τῆς παρούσης πραγματείας ἀνεγνώσθη ἐν τῇ ΧΙΓ' Συνεδριάσει κατὰ τὸ ἐπιὸν συλλογικὸν ἔτος 1880—81, ἐνεκρίθη δὲ ὅπως δημοσιευθῇ ἡ ὅλη πραγματεία ἐν τῷ παρόντι τόμῳ.

قیمت تودرآن قدر علم است
که تن خود بدان یارایی
خلق در قیمت بفزایند
چون تودر علم خود بفزایی

Μέτρον ἐστί σοι τῆς ἀξίας ἡ τὸ σῶμα τὸ σαυτοῦ κοσμεῖς ἐπιστήμῃ· ὅσῳ δὲ π.λείω μαθάρεις, τοσούτῳ σε καὶ π.λείονος ἀξιοῦσι.

6) من غرف نفسه عرف ربه

Ὁ γνοὺς ἑαυτὸν ἔγνω καὶ τὸν ἑαυτοῦ κύριον.

Τ. ἔ. Ὁ τὴν ἔντεχνον τοῦ ἰδίου σώματος ὀργανικὴν διάπλασιν, καὶ τὰ πρὸς ἄλληλά τε καὶ πρὸς τὸ σύνολον τῶν μελῶν ἑκάστων χρήσιμον ἐνιδὼν ῥᾳδίως ἑαυτὸν ὑπὸ σοφοῦ δημιουργοῦ καὶ ὃ ποιήσειν ἔμελλεν ἐπισταμένου δεδημιουργημένον ἐπιγινώσκει.

ز. وجود خدای عزّ وجلّ
هست نفس توحجّت قاطع
چون بدانی تونفسرا دانی
کوست مصنوع و ایزدش صانع

Τοῦ τὸν ὕψιστον εἶναι Θεὸν τεκμήριόν ἐστι κυριώτατον τὸ αὐτόν σε εἶναι. Σαυτὸν δ' ἐπιγιγνώσκων ἅμα γνώσῃ π.λάσμα μὲν ὢν αὐτός, τὸν δὲ Θεὸν π.λάστην ἔχων.

7) المرء مخبوّ تحت لسانه

Ὁ ἄνθρωπος ὑπὸ τῇ γ.λώσσῃ λανθάνει.

Τ. ἔ. Ἐφ' ὅσον μέν τις ἄγει σιγήν, ἀποκρύπτει τοὺς ἄλλους τόν τε νοῦν καὶ τὸν βαθμὸν αὐτοῦ τῆς παιδεύσεως· φθεγξάμενος μέντοι, τῆς αὐλαίας ἀρθείσης, ἐμφανὴς τοῦ λοιποῦ καθίστησιν ὅ τε οἶδε καὶ ὃ μή· ἀνάλογον δὲ καὶ τό : *παγὶς ἀνθρώπου ἡ γ.λῶσσα αὐτοῦ.*

مرد پنهان بود بزیر زبان
چون بگوید سخن بداندش
خوب گوید گبید گویندش
زشت گوید سفیه خواندش

Λανθάνει μὲν ὁ ἄνθρωπος ὑπὸ τῇ γ.λώσσῃ, φθεγξάμενος δὲ γνώσκεται· ἀγαθὰ μὲν εἰπόντα συνετὸν αὐτὸν κα.λοῦσι, κακὰ δ' ἀσύνετον.

8) من عذّب لسانه كثر إخوانه

Ὦ ἡδυεπὴς ἡ γ.λῶσσα, τούτῳ καὶ π.λῆθος φ.λων.

Τ. ἔ. Τῇ εὐπροσηγορίᾳ κτᾶταί τις τὸ τῶν ἄλλων εὐμενὲς καὶ τρόποις εὐγενέσι καὶ φιλανθρώποις· διὸ καὶ μάλα καλῶς ὁ χρυσοῦς Εὐριπίδης «ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις» (Ἱππολ. Στεφανηφ. 95) καὶ Ἰσοκράτης δ' ὁ ῥήτωρ ἐν τῷ πρὸς Δημόνικον *εὐπροσήγορον* εἶναι παραινεῖ τῷ Ἱππονίκου καὶ *φ.λοπροσήγορον* (πρὸς Δημόν. 66). Τὸ δὲ τοῦ Νέστορος τοῦ Ὁμηρικοῦ, «τοῦ καὶ ἀπὸ γλώττης μέλιτος γλυκίων ῥέεν αὐδή» (Ἰλ. Α., 249), τοῖς πᾶσιν ἐκ τούτου προσφιλὲς καὶ σεβαστὸν οὐδεὶς ἀγνοεῖ τῶν καὶ σμικρὸν Ὁμήρου γευσαμένων.

گرزبان خوشست جمله خلق
درمدّت برادران تواند
ورزبان بدست درخانه
خصم جان توچاکران تواند

Εἰ μὲν ἡδ.λόγος ὢν τυγχάνεις, ὥσπερ ἀδελφὸν φ.λοῦσί σε πάντες, εἰ δὲ κακο.λόγος, καὶ αὐτοὶ σ' ἐχθαίρουσιν οἱ οἰκέται. Καλῶς δὲ καὶ τό : *πο.λλὰς φ.λίας ἀπροσηγορία διέλυσε* τῶν ἀρχαίων, καὶ ἕτεραι δύο ῥήσεις ἀραβικαί:

لَيِّن قولك تحبّ كل القلوب
9) بالبِر يستعبد آلحرّ

Ταῖς εὐποιίαις καθίσταται δοῦ.λος ὁ ἐ.λεύθερος.

Τ. ἔ. Ταῖς εὐεργεσίαις ὁ ἐλευθερίου τυχὼν ἀγωγῆς, ἐκ δὲ τούτου χρηστὸς καὶ δίκαιος, τῇ τῆς εὐγνωμοσύνης, ὡς εἰπεῖν, δεσμῷ τῷ εὐεργέτῃ συναπτόμενος, καθίσταταί πως ἐκείνου δοῦλος, οὐδὲν ἀλλ' ἢ τὸ δοκοῦν ἐκείνῳ ποιεῖν ἀεὶ προαιρούμενος· ἀνάλογον δὲ καὶ τὸ τῶν Ἰταλῶν : *Chi beneficio riceve, perde la libertà.*

گرنه باید که پیش تو باشند
سروران جهان سرافکنده
مردمی کن که مردمی کردن
مرد آزاده‌را کندبنده

Εἰ βού.λει σοι τοὺς τοῦ κόσμου μεγιστᾶνας προσπίπτειν, ἐ.λευθερίως αὐτοῖς προσφέρου· τὸ γὰρ γενναῖον δοῦ.λον καθίστησι τὸν ἐ.λεύθερον.

Ἀνάλογον δέ πῃ καὶ ἑτέρα τις ἀραβικὴ παροιμία :

الحسن الى المسئ نسدّه

Εὖ ποιῶν τὸν κακῶς ποιήσαντα κύριος αὐτοῦ γενήσῃ.

10) بُشِّرِ حلَّ آلبخيل بحادثٍ او بوارثٍ

Τὰ τοῦ φ.λαργύρου χρήματα φθορὰν ὀνόμασον ἢ κ.ληρονόμον.

Τ. ἔ. Ὁ τοῦ φιλαργύρου πλοῦτος, εἰς ἀγαθὸν οὐδὲν καταναλισκόμενος, ἢ συμφορᾶς ἀδοκήτου τινὸς ἢ κληρονόμου φθορέως λεία καθίσταται. Δι' ὃ καὶ καλῶς Ἰσοκράτης Ἱππόνικον ἐπαινεῖ τὸν Δημονίκου πατέρα τῆς φρονήσεως, ὃς *ἀπέ.λαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητός, ἐπεμε.λεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος* (πρὸς Δημ. 3)· τούτοις ἀδελφὰ παραινεῖ καὶ Λουκιανὸς ἐν οἷς φησίν :

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπό.λαυε,
Ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.

هر که مال هست خوردن نیست
او از ان حال بره کی دارد
یا بتاراج حادثات دهد
یا بمیراشخور بگذارد

Ὁ π.λοῦτος κεκτημένος, ἀ.λλὰ μὴ χρώμενος, πῶς ἂν ἐντεῦθεν ὠφε.λοῖτο; ἢ συμφοραῖς αὐτὸν λείαν καθίστησιν ἢ κ.ληρονόμῳ τῳ κατα.λείπει.

11) لاتنظر الى من قال وانظر الى ما قال

Μὴ β.λέπῃς πρὸς τὸν εἰπόντα, ἀ.λ.λ' εἰς ὃ εἶπε.

Τ. ἔ. Ἐπειδάν τινος ἀκούσῃς εἰπόντος τι, μὴ βλέψῃς εἰς τὰ κατὰ τὸν ἄνδρα, ἀλλ' εἰς τοῦ λεχθέντος τὴν ἀξίαν· ἀμαθὴς μὲν γάρ τις εἰπέ τι πολλάκις σπουδαῖον, ἔστι δ' ὅτε χαρίεις φαῦλον.

شرف قائل و خِساستِ او
درسخن کی کنند هیچ اثر
توسخنرا نگر که حالش چیست
در گذارنده سخن منگر

Διατί τὸ ἀξίωμα τοῦ λέγοντος ἢ ταγερὲς ῥοπὴν ἂν ἔχοι πρὸς ἃ λέγει; σκόπει τὸ λεγόμενον, οἷόν ἐστιν, ἀ.λ.λὰ μὴ τὸν λέγοντα.

12) الجزع عند البلاء تمام المحنة

Τὸ μὴ ἐγκαρτερεῖν τῇ συμφορᾷ τε.λειοῖ τὴν δυσπραγίαν.

Τ. ἔ. Τὸ μὲν ἀνέχεσθαι τὰ δεινὰ ἀμοιβῆς, τὸ δὲ μὴ τιμωρίας ὑπὸ τῆς τοῦ θεοῦ δικαιοσύνης ἀξιοῦται· ταὐτὸ δὲ παραινεῖ που καὶ ὁ Ἀπόστολος λέγων : *τῇ θ.λίψει ὑπομένοντες* (Ῥωμ. 12, 12), καὶ ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις : *ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ἑαυτῶν ψυχὰς* (Λουκ. 21, 19), καί : *ὁ ὑπομείνας εἰς τέ.λος, οὗτος σωθήσεται* (Ματθ. 10, 22, 24, 13. Μάρκ. 13, 13. Λουκ. 21, 17). ἀνάλογον δέ πῃ καὶ τὸ ἀραβικόν : بالظفر بعد الصبر.

دربلیّت جزع مکن که جزع
بتمامی کند دلت رنجور
هیچ رنج تمامتر زان نیست
کز ثواب خدای مانی دور

Κακοῖς συνεχόμενος μὴ ἀθύμει· τὸ γὰρ ἀθυμεῖν τε.λειοῖ σοι τὴν δυσπραγίαν· οὐδὲν δὲ μεῖζον δεινὸν ἢ τὸ τῆς παρὰ τοῦ θεοῦ ἀντιμισθίας ἀπο.λειφθῆναι (τῆς ἐν τῷ μέλλοντι βίῳ διὰ τὴν τῶν τῇδε δεινῶν ἐγκαρτέρησιν).

Ἀνάλογον δέ πῃ καὶ τὸ Εὐπόλιδος τοῦ ποιητοῦ (παρὰ Σουίδᾳ) : *ἀ.λ.λ' οἱ γὰρ ἀθυμοῦντες ἄνδρες οὔποτε τρόπαιον ἐστήσαντο.* Ἔτι δὲ τὸ τῶν Ἰταλῶν : *il savio fa della necessità virtù.*

13) لاظفر مع آلبغي

Οὐδεὶς ἂν ἀδικίᾳ χρώμενος ἐφίκοιτο τοῦ ζητουμένου.

Τ. ἔ. Ὁ μετ' ἀδικίας ἐπιζητῶν τι τὰ πλεῖστα μὲν οὐ τυγχάνει τοῦ ποθουμένου, εἰ δέ ποτε καὶ τύχοι, οὐδὲν ὠφελεῖται.

هر که از راه بغی چیزی جست
ظفر از راه او عنان برتافت
وروظفر یافت منفعت نگرفت
پس چنان است آن ظفر که نیافت

Εἴ τις ἀδικίᾳ τι μετεδίωξεν, οὐκ ἐφίκετο· εἰ δὲ καὶ ἔτυχεν, οὐ μὴν ἀπή.λαυσε, μάτην αὐτῷ τῆς κτήσεως γενομένης.

14) لا ثناء مع آلكبر

Οὐκ ἔστιν ἔπαινος μεθ' ὑπερηφανίας.

Τ. ἔ. Τὸν ὑπερήφανον οὔτ' ἐπαίνου ποτὲ χλαμύδι περιβάλλουσιν οὔτ' ἐλπίδας ἔχοντες ἐπ' αὐτῷ προσπελάζουσιν. Εἶπε δὲ καὶ Σολομὼν ὁ θεῖος ἐν ταῖς παροιμίαις (3, 34) : Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

هر گرا کبریشه همه خلق
در مخالف جفای او کنند
وآنکه بر منهج تواضع رفت
همه عالم ثنای او کوینه

Τὸν μὲν ἀλαζονίᾳ συνόντα πάντες ἐν τοῖς συ.λλόγοις ψέγουσι· τὸν δὲ μετρίῳ χρώμενον φρονήματι σύμπαντες ἐπαινοῦσιν.

Ἀνάλογον δὲ καὶ τόδε : تواضع المرء يكرمه *τιμὴν ἡ ταπεινοφροσύνη περιποιεῖ τῷ ἀνθρώπῳ*, καὶ τό : تواضع المرء فى *τὸ τοῦ ἀνθρώπου μέγεθος ἐν τῷ μετρίῳ κεῖται φρονήματι.*

15) لا برّ مع شحّ

Οὐκ ἔστιν εὖ ποιεῖν φιλοχρήματον ὄντα.

هر کرا بخل پیشه شد دکران
نیست ممکن که طاعتش دارند
حق گذاریست طاعت واورا
نبود حق چگونه بگذارند

Τὸν φιλοχρήματον οὐδεὶς ἂν ἄσμενος θεραπεύοι· θεραπεύουσι μὲν γάρ τιν' οἱ ἄνθρωποι, χάριν ἀποδιδόντες· τὸν μέντοι φιλάργυρον, εὖ ποιεῖν βουλόμενον οὐδένα, πῶς ἄν τις καὶ θεραπεύσειε;

16) لا صحّة مع السّقم

Οὐδεὶς ὑγιαίνειν δύναται γαστρίμαργος ὤν. Ἀνάλογον δὲ καὶ ἑτέρα τις ἀραβική:

بطن المرء عدوه

ἐχθρὸς τῷ ἀνθρώπῳ ἡ κοιλία.

نشود هیچ جمع مردمرا
تندرستی و خوردن بسیار
مذهب خویش ساز کم خوردن
اکرت جان عزیز هست بکار

Ὀλίγῳ εἰσὶν ἀσυνάρμοστοι τῷ ἀνθρώπῳ πολυφαγία καὶ ὑγίεια.

Νόμον ποιοῦ σαυτῷ φείδεσθαι τῆς γαστρός, εἰ τοῦ ζῆν ἀντέχῃ.

Ὅτι δὲ καὶ τὸν νοῦν ἀμβλεῖς οἱ γαστρίμαργοι φιλοῦσι γίγνεσθαι δῆλον ἐκ τοῦ: *παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον.*

17) لا شرف مع سوء الادب

Οὐκ ἔστιν εὐγένεια μετ' ἀγροικίας.

Τ. ἔ. Τιμῆς ἀξιωτέος μόνος ὁ ἐπὶ παιδεύσει ἐλευθερίῳ διαπρέπων καὶ ἤθεσι καὶ τρόποις εὐγενείας ἐξέχων.

بی ادب مرد کی شود مهتر
کرچه اورا جلالت نیست
با ادب باش تا بزرك شوی
که بزرکی نتیجه ادبست

Πῶς ἂν μέγας ὁ ἀπαίδευτος γένοιτο καὶ ἐξ εὐγενῶν ὑπάρχων; Εὐπαίδευτον σεαυτὸν ἀνάδειξον· ὅτι καρπός ἐστιν ἡ εὐγένεια τῆς παιδείας. Ἀνάλογον δὲ καὶ τό: *ὅστις ἂν δίκαιος ἢ τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ κάλει.*

18) لا اجتناب من محرّم مع الحرص

Ἀδύνατον μὴ ἀθεμιτουργῆσαι τὸν ὑπ' ἐπιθυμίας ἐχόμενον.

حرص سوی محرمات کشد
خنك آنرا که حرصرا بکذاشت
. . . . . .
دست از حرص باز باید داشت

Ἐπιθυμία πονηρὰ πρὸς ἀθέμιστον ἄγει· μακάριος ὁ ταύτης ἀπαλλαγείς! . . . . . *χρὴ τοίνυν ἐπιθυμίας πονηρᾶς ἀπέχεσθαι.*

19) لا راحت مع حسد

Οὐκ ἔστιν ἄγειν ἡσυχίαν μετὰ φθόνου.

Τ. ἔ. Ὁ φθονερὸς ἀνιᾶται τοῖς ἀγαθοῖς, οἷς ὁ θεὸς παρέχει τοῖς ἄλλοις. Ἐπεὶ δὲ ταῦτα διηνεκῆ τυγχάνει ὄντα, οὐδέποτ' ἂν ὁ τοιοῦτος ἀπολαύσειεν ἡσυχίας.

از حسد دورباش شاد بزی
باحسد هیچ کس نباشد شاد
کر طرب را بکاح خواهی کرد
مرحسدرا طلاق باید داد

Ἀπεχόμενος τοῦ φθονεῖν ἡδέως βιώσῃ· τὸ δ' οὐδενὶ συμβαίνει φθόνῳ χρωμένῳ ἢν βούλῃ συνοικεῖν εὐθυμίᾳ, δεῖ σε πρῶτον ἀποπέμψασθαι τὸν φθόνον.

Ἐπεὶ δ' ἐκ τῶν ἀρχαίων ἄριστα πάντων Ὀουίδιος τὴν τοῦ φθόνου φύσιν ἡμῖν ὡς ἐν εἰκόνι μόνον οὐ δεικνύων ὄψει παρέστησε, καλὸν ἡγησάμεθα μετενεγκεῖν ἐνθάδε τὸ τοῦ ποιητοῦ χωρίον ὅλον (Μεταμορφ. II, 768 καὶ ἑξ.).

. . . . . videt intus edentem
Vipereas carnes, vitiorum alimenta suorum,
Invidiam, visaque oculos avertit.. at illa
Surgit humo pigra, semesarumque relinquit
Corpora serpentum; passuque incedit inerti.
Utquedeam vidit formaquearmisque decoram,
Ingemuit, vultumque inita ad suspiria duxit.
Pallor in ore sedet, macies in corpore toto,
Nusquam recta acies, livent rubigine dentes,
Pectora felle virent, lingua est suffusa veneno.
Risus abest, nisi quem visi movere dolores,
Nec fruitur somno, vigilacibus excita curis,
Sed videt ingratos, intabescitque videndo,
Successushominum, carpitque etcarpituruna,
Suppliciumque suum est.

20) لا محبّة مع مزج لجوج

Οὐδεὶς ἂν ἀνδρὶ φιλέριδι φίλῳ χρῷτο.

ابله است آنکه فعل اوست لجاج
ابلهی را کجا علاج بود
تاتوانی لجاج پیشه مکن
کافت دوستی لجاج بود

Ἀβέλτερος ὁ φιλερὶς ἐστι· πῶς δ' ἄν τις τὴν ἀβελτηρίαν ἰάσαιτο; ἢ σοι δυνατόν, ἀπόφευγε τὸ φίλερι· φθορὰ γὰρ αὐτὸ τῆς φιλίας.

Διὸ καλῶς ὁ Ἰσοκράτης (πρὸς Δημόν. 8 d) τὸν ὁμιλητικὸν ἐσόμενον μὴ δύσεριν μηδὲ φιλόνεικον εἶναι δεῖν ἀποφαίνεται.

21) لا سودد مع انتقام

Οὐδεὶς ἂν ἀνθρώπων ἄρχοι μνησίκακος ὤν.

Τ. ἔ. Δεῖ τὸν ἄρχειν βουλόμενον πάσης μὲν τοῦ τιμωρεῖν ὀρέξεως ἀπηλλάχθαι, μακροθυμίαν δὲ καὶ πρᾳότητα περιβεβλῆσθαι.

صولت انتقام از مردم
دولت مهری کند باطل
از ره انتقام یکسو شو
تا غمانی زمهری عاطل

Ἀκρατος μνησικακία στερεῖ τὸν ἄνδρα τοῦ τῆς δυναστείας ὄλβου· ἄπεχε τῆς μνησικακίας, ἵνα μὴ τὸν κόσμον ἀφαιρεθῇς τὸν τῆς δυναστείας.

22) لا زيارة مع زعارة

Οὐδεὶς ἐπισκεπτόμενος ἀσπάσιός ἐστι, μὴ φιλόφρων ὑπάρχων.

Τ. ἔ. Δεῖ τὸν ἐντυγχάνοντα κόσμιον εἶναι καὶ τὴν ὄψιν ἱλαρὸν καὶ τοὺς τρόπους μειλίχιον· ἢν δὲ μή, ἀντὶ μὲν ἀγαθοῦ κακῶν, ἀντὶ δὲ φιλίας ἔχθρας ἡ ἔντευξις αἴτιον γίγνεται.

چون زیارت کنی عزیزرا
روی خوش دار خوی از آن خوشتر
که اکر بدخوئی کنی آنجا
آن زیارت شود هبا و هدر

Ἐντυγχάνων φίλῳ σπουδαίῳ, τὴν μὲν ὄψιν ἔσο φιλόφρων, τοὺς δὲ τρόπους φιλοφρονέστερος· ἢν γὰρ ἄκομψον σεαυτὸν παράσχῃς, καπρός σοι καὶ ἀτμὶς ἡ ἔντευξις ἔσται.

23) لا صواب مع ترك مشورة

Οὐδεὶς ἂν ὀρθῶς τι πράττοι μὴ συμβούλους ἑτέρους χρώμενος.

Τ. ἔ. Δεῖ τὸν φρόνιμον ἐν πᾶσιν οἷς μέλλει ποιεῖν ἑτέρων ἀκούειν γνώμης. Οὕτω γὰρ ἂν ἐν καιρῷ τῶν ἁμαρτημάτων ἀπαλλαγείς τὴν ὀρθὴν καὶ εἰς τἀγαθὸν ἄγουσαν τρέποιτο.

مشورت رهبر صواب آید
در همه کار مشورت باید
کار آنکس که مشورت نکند
نادره باشد ار صواب اید

Βούλευσις εἰς τὸ δίκαιον ἄγειν εἴωθε· διὸ πρὸς πάντα βουλεύεσθαι χρὴ σπαρίως δ' ἄν τις ἴδοι προχωροῦν τι τῷ μὴ βουλευομένῳ.

Διὸ καλῶς εἴρηται τὸ τοῦ ποιητοῦ: *Ξὺν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν·* (Ἰλ. Κ., 224) ἔτι δὲ τὸ τῶν Τούρκων: عقل عقلدن اوستندر *διάνοια διανοίας κρείσσων ἐστί·* καὶ τὸ τῶν Ἀράβων: من عَمِلَ برأيه ندم

24) لا مروة لكذوب

Οὐδέποτ' ἂν ὁ ψευδολόγος εὐγενῆ φρονοίη.

هر که باشد دروغ زن بروی
از مروت کجا فروغ بود
کر کند آن عهد خداع بود
ور دهد وعد آن دروغ بود

Πῶς ἂν ὁ ψευδολόγος ὑπὸ φρονήματος ἀπολάμποι; εἰ μὲν συντίθεταί τινι, δόλος ἐστίν, εἰ δ' ὑπισχνεῖται ψεῦδος.

25) لا وفاء لملول

Οὐδεὶς ἂν ἀνὴρ δύσκολος εἴη πιστός.

مطلب تو وفا زمرد ملول
نشود مجتمع ملال و وفا
کر کند عهد چون ملالش خواست
بشکند عهدرا بدست جفا

Μὴ ἀξίου τὸν δύσκολον εἶναι πιστόν· δυσκολία γὰρ καὶ πίστις ἄμικτα· εἰ γάρ ποτε καὶ συνθήκας ποιήσαιτο πρός τινα, διακορὴς γερόμενος ἀγροίκως αὐτὰς παραβαίνει.

26) لا كرم اعزّ من التقى

Οὐκ ἔστι τιμὴ μείζων ἢ τὸ τὸν θεὸν φοβεῖσθαι.

Τ. ἔ. Ὁ τὸν Θεὸν φοβούμενος, ὑπὸ τ' ἐκείνου καὶ ὑπὸ τῶν ἀνθρώπων τιμᾶται· διὸ καὶ ἐν τῷ Κορανίῳ γέγραπται (Κεφ. 49, 13): ان اكرمكم عند الله اتقيكم *ὅστις ὑμῶν μάλιστα τὸν θεὸν φοβεῖται, τοῦτον καὶ τῆς μεγίστης ἠξίωσε τιμῆς.*

کر کریمی تو راه تقوی رَوْ
زانکه تقوی سر همه کرم است
ناکرفتن درم زوجه حرام
بهتر از بذل کردن درم است

Εἰ μὲν εἷς ἀνὴρ σπουδαῖος, εὐσέβειαν ἄσκει· πάσης γὰρ ἀρετῆς κεφάλαιον αὕτη. μηδ' ὁδὸν ἀδίκως λαμβάνειν κρεῖσσον ἢ χειρί τιν' ἀφεῖδεῖ εἰς εὐεργετήματα καταναλίσκειν.

27) لا شرف اعلى من الاسلام

Οὐκ ἔστι μείζων τιμὴ τοῦ μωαμμεδανὸν γενέσθαι.

ای که در ذلّ کفر ماندستی
عزّ اسلام داده ازکف

کر شرف بایدت مسلمان شو
که چو اسلام نیست هیچ شرف

Σὺ, ὦ ἐμμείνας τῇ ταπεινότητι τῆς ἀπιστίας, ἐστέρησας σαυτὸν τῆς τιμῆς τῆς ἐκ τοῦ μωχαμμεδανὸν γενέσθαι. Εἰ περιφρεύας ἐρᾷς μωχαμμεδανὸς γενοῦ· οὐδεμία γὰρ ἐστιν ἀξία τοσαύτη.

28) لا معقل احسن من الورع

Οὐκ ἔστιν ἐσθὴς κρείττων τῆς εὐσεβείας.

ای که از دفع لشکر آفات
عاجزی ورا سپاهی نیست
در پناه ورع گریز زانکه
از ورع نیکتر پناهی نیست

Σὺ ὦ τὴν στρατιὰν τῶν κακῶν ἀδυνατῶν ἀπαμύνασθαι καὶ συναγωνιστὰς οὐκ ἔχων, εἰς τὴν εὐσέβειαν κατάφυγε· ταύτης γὰρ ἄσυλον οὐδέν ἐστιν ἄμεινον.

29) لا شفيع انجح من التوبة

Οὐκ ἔστι παραιτητὴς ἀμείνων ἢ ἡ μετάνοια.

ای که بعد گناه کردستی
می نترسی از آن فعال شفیع
توبه کن تا رضای حق یابی
که به از توبه نیست هیچ شفیع

Σὺ, ὦ ὁ μυρίας ἁμαρτὼν ἁμαρτίας, οὐ φοβῇ τὰ ταύταις ἑπόμενα; μετανόησον, ἵνα τὸ θεῖον ἐξιλεώσῃς· οὐ γάρ ἐστι παραιτητὴς ἀμείνων ἢ ἡ μετάνοια.

30) لا لباس اجل من السلامة

Οὐκ ἔστιν ἐσθὴς λαμπροτέρα τῆς εὐεξίας.

Τ. ἴ. Ἡ τοῦ σώματος ὑγίεια καὶ εὐεξία τυγχάνουσιν οὖσαι ποτὲν μὲν ἄριστον πιεῖν, ἱμάτιον δὲ λαμπρότατον ἀμπισχνεῖσθαι.

مردرا کر زعقل خود بهره است
هیچ کسوت به ازسلامت نیست
بسلامت اگر نباشد شاد
کسوت او بجز سلامت نیست

Εἴ τις τῷ νῷ τῷ ἰδίῳ χρῆται, στολὴν οὐδεμίαν εὑρήσει τῆς εὐεξίας ἀμείνω· μὴ στέργων δὲ ταύτην, ἕξει τὴν μετάνοιαν ἐσθῆτα.

Ταὐτὸ δέ που λέγει καὶ τόδε : ثوب السلامة لا يبلى = *οὐδέποτε καταρρίβεται τὸ τῆς εὐεξίας ἱμάτιον.*

31) لا داء اعيى من الجهل

Οὐκ ἔστι νόσος χείρων τῆς ἀγνοίας.

Τ. ἴ. Οὐκ ἔστιν ἴασις τῇ τῆς διανοίας ἀμβλύτητι οὐδὲ ὁρᾷς αὐτῆς τῷ σκότῳ οὐδὲ διαυγασμὸς τῇ τυφλότητι.

علم درّیست نیك باقیت
جهل دردیست سخت بی درمان
نیست از جهل جز ارشقاوت نفس
نیست از علم جز سعادت جان

Ἡ μὲν παιδεία καλός τις ἐστὶ καὶ πολύτιμος μαργαρίτης, ἡ δ' ἀμουσία κακὴ καὶ ἀνίατος νόσος· ἡ μὲν κακοδαιμονίαν μόνην τῇ ψυχῇ περιεποίησεν, ἡ δὲ εὐδαιμονίαν.

32) لا مرض اضنى من قلة العقل

Οὐκ ἔστι νόσος δεινοτέρα τῆς ἀφροσύνης.

ای که روز و شب از طریق علاج
درفزونی جسم وجان خودی
پای نِه درخرد فرایی که نیست
هیچ یاری چوکم‌خردی

Σὺ ὦ ὁ νύκτωρ καὶ μεθ' ἡμέραν τὸ σῶμα τὸ σεαυτοῦ καὶ τὴν ζωὴν ἐπιρρωννύειν προθυμούμενος, τὴν διάνοιαν μᾶλλον ἐπιρρωννύναι πειρῶ τὴν σεαυτοῦ· νόσος γὰρ οὐδεμία δεινοτέρα πέφυκε τῆς ἀνοίας.

33) لسانك يقتضيك ما عوّدته

Ἡ γλῶσσα αἰτεῖ σε εἰς ὅπερ αὐτὴν εἴθισας.

Τ. ἴ. Ἔθισον τὴν γλῶσσαν εἰς τὰ κάλλιστα ῥήματα· τοὐναντίον γὰρ ποιήσας οὐκ ἀκριβῶς εἴσθα εἰ μή ποτέ σοι μοχθηρόν τι καὶ ψυδαῖον ἐξοίσει, τόν τε βίον ταράττειν καὶ μέγιστόν σε κακὸν ἐργάζεσθαι δυνάμενον.

بر نکو خوی کن زبانرا
کان زور بر زبانکه خوی کند
خویش ار بر بدی کنی رونی
پیش خلقت سیاه روی کند

Ἔθισον εἰς ἀγαθὸν τὴν γλῶσσαν· εἰς ὃ γὰρ ἂν αὐτὴν ἐθίσῃς, τοῦτο καὶ λαλήσει· ἐὰν δ' εἰς κακὸν αὐτὴν ἐθίσῃς, καταισχυνεῖ σε ποτ' ἔμπροσθεν τῶν ἀνθρώπων.

34) المرء عدوّ ما جهله

Ἐχθρός ἐστιν ὁ ἄνθρωπος οὐ μὴ νοεῖ.

Τ. ἴ. Ὁ μὴ νοῶν ἐπιστήμην περιῤῥονεῖν αὐτὴν βούλεται καὶ τὴν ἀξίαν ἀφαιρεῖσθαι· ᾗ μὲν τοὺς ταύτην διδάσκοντας, ἐχθαίρει δὲ τοὺς ἐπισταμένους.

مردومان دشمنند علمی راکه
زنقصان خود نداندش
علم اگرچه خلاصه دینست
چون نداند کفر خواندش

Ἐχθαίρουσιν οἱ ἄνθρωποι γνῶσιν ἐπιστήμην, ἣν τις ἐξ ἀμουσίας μὴ συνῆσι. Κἂν δ' ἡ ὀρθὴ

τυγχάνῃ οὖσα πρὸς τὸ θεῖον πίστις, ἀσέβειαν αὐτὴν ὑπ' ἀγνοίας καλοῦσι.

Πρβλ. τὸ λατιν. : artem non odit nisi ignarus ἢ : ars non habet osorem nisi ignorantem.

35) رحم الله إمرءً عرف قدره ولم يتعدّ طوره

Ὁ Θεὸς ἐλεεῖ (καὶ φιλεῖ) τὸν ἑαυτὸν γινώσκοντα καὶ μὴ ὑπερβαίνοντα τοὺς ἰδίους ὅρους. Ὑπομιμνήσκει ἡ παροιμία τὸ δελφικόν : *γνῶθι σαυτόν·* ἀνάλογον δὲ καὶ τὸ γραφικόν : *Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν* (Παροιμ. 3, 34).

رحت ایزدی بران کس باد
که عنان درکف جنون نشهد
حدّ خودرا بداند وآنگاه
قدم ازحدّ خود برون نشهد

Εὐμενὲς τὸ θεῖον γένοιτο τῷ μὴ χειρὶ θρασείᾳ τὰς ὑπὲρ ἀφιέντι καὶ γινώσκοντι μὲν τοὺς ὅρους τοὺς ἑαυτοῦ, μηδέποτε δ' αὐτοὺς ὑπερβάλλοντι.

36) اعادة الاعتذار تذكير للذنب

Συχνὴ συγγνώμης αἴτησις ἀναξεῖ καὶ ὑπομιμνήσκει τὸ ἁμάρτημα· ἀνάλογον τῷ γαλατικῷ qui s'excuse s'accuse.

عذر یکبار خواه از کسهی
کز دوبارست نقص جاه ترا
بسر عذر باز رفتن تو
تاره کردن بود گناه ترا

Συγγνώμην ἅπαξ αἰτοῦ τινος ἁμαρτήματος· ἐὰν γὰρ δὶς αἰτήσῃ, μειοῖ σου τὴν ἀξίαν· ἀναχαιρίζει γὰρ αὐτοῦ τὴν ἁμαρτίαν ὁ πάλιν αἰτούμενος συγγνώμην.

37) النصح بين الملإ تقريع

Νουθετεῖν ἐναντίον ἄλλων τὸν ἑαυτοῦ σωφρονίζων φίλον διαῤῥήγνυσι μὲν αὐτοῦ τὴν σκέπην, ἀποκαλύπτει δὲ τἀπόῤῥητα.

کر نصیحت کنی بخلوت کن
که جربن شیوه نصیحت نیست
هر نصیحت که بر ملا باشد
آن نصیحت بجز فضیحت نیست

Εἰ νουθετεῖν τινα βούλοιο, κρύφα τοῦτο ποίει· οὕτω γὰρ ἂν τις ὀρθῶς νουθετοίη· τὸ δ' ἐναντίον πολλῶν ὑβρίζειν ἐστί.

38) اذا تمّ العقل نقص الكلام

Ὁ τέλειος νοῦς ὀλίγα φθέγγεται.

Τ. ἴ. Ὁ τὸν νοῦν τέλειος λέγει μόνον, ἃ δεῖ, μὴ παραφερόμενος εἰς φληναφήματα μωρὰ μηδ' εἰς ἔριδας φιλονείκους.

هر کرا اندکست مایهٔ عقل
بیهوده کفتنش بود بسیار
مردرا عقل چون بیفزاید
در مجامع بکا هدش کفتار

Ὁ φρενῶν ἐπιδεὴς ἀνόητα καὶ πολλὰ λαλεῖν ἱκανός ἐστιν. Ὅσῳ δέ τις φρονιμώτερος γέγνεται, τοσούτῳ κὰν ταῖς συνουσίαις ἐλάσσω φθέγγεται. Ἀνάλογα δὲ καὶ τάδε : جودة الكلام فى الاختصار = *ἀρετὴ τοῦ λόγου ἡ βραχύτης,* عيب الكلام طوله = *κακία λόγου τὸ μῆκος,* καὶ من كثر كلامه كثر سقطه = *ὅστις λέγει πολλά, πολλὰ καὶ ψέγεται.*

39) الشفيع جناح الطالب

Πτέρυξ ἐστὶ τοῦ ποθοῦντος ὁ μεσίτης.

Τ. ἴ. Ὁ ποθῶν ἐφικνεῖται τοῦ πράγματος οὗ ποθεῖ διὰ τοῦ μεσίτου καθάπερ τὸ πτηνὸν ἀφικνεῖται ταῖς πτέρυξιν ἔνθα τυγχάνει τροφῆς καὶ ποτοῦ.

ای که هستی تو طالب مطلوب
هیچ تومیدی ازدلت برکن
تا بمطلوب خودرسی زملوك
دست در دامن شفیع زن

Σὺ ὦ ὁ τυγεῖν τινος ἐφίμερος, ἔξελε τῆς σεαυτοῦ ψυχῆς τὴν δυσελπιστίαν· ἵνα δ' εἰς τὸ πέρας ἀφίκῃ τῆς εὐχῆς, παραιτητοῦ τινος ἔχου τοῦ κρασπέδου

40) نفاق المرء ذلّه

Ταπεινοῖ ἡ κολακεία τὸν ἄνδρα.

المنافق يكون ذليلاً عند الخالق حقيرا عند الخلائق = *τὸν κόλακα περιῤῥορεῖ μὲν ὁ Θεός, ἐν οὐδενὶ δὲ λόγῳ τίθενται οἱ ἄνθρωποι.*

ای که داری نفاق اندردل
خار بادث خلنده اندر حلق
هر که سازد نفاق پیشهٔ خویش
خوار کردد بزد خالق و خلق

Σύ, ὃς ὑπόκρισιν ἐν τῇ καρδίᾳ φέρεις, εἴθε σοι σκόλοψ ὀξὺς εἰς τὸν λάρυγγα χωρήσειεν! ὅστις ἑαυτὸν ἐπαίδωσι τῇ ὑποκρίσει, Θεῷ τε καὶ ἀνθρώποις ἐνκαταῤῥόρητον ἑαυτὸν καθίστησι.

41) نعمت الجاهل كروضة على مزبلة

Ἡ τοῦ ἀμαθοῦς εὐπραγία ὥσπερ λειμὼν ἐστιν ἐπὶ κοπρίας.

Τ. ἴ. Ὁ ἀμαθὴς οὐκ ἔστιν οἷος εἶναι ἄξιος εὐπραγίας· εἰ δ' ἀγαθοῦ τινος ἔτυχεν ὑμοιρή-

σας, οὐ πρέπει αὐτῷ καθάπερ ἐπὶ κοπρίας λειμών οὐκ εὐπρεπής ἐστι.

ای که داری هنر نداری مال
مکن از کردکار تدکله
نعمت وحبرا مخواه که هست
روضه درمیان مزبله

Σὺ ὦ παιδείας μὲν εὐμοιρῶν, χρημάτων δ' ἀμοιρῶν, μὴ μέμφου τὸν δημιουργήσαντά σε, μηδὲ βούλου σαυτῷ γενέσθαι πλοῦτον μετ' ἀμουσίας· λειμὼν γὰρ ἐστὶν οὗτος ἐπὶ κοπρίας.

42) الجزع اتعب من الصبر

Τὸ χαλεπαίνειν ἀπεχθέστερον ἢ τὸ ὑπομένειν.

در حوادث بصبر کوش که صبر
برضای خدای مقرونست
تن مده درجزع که رنج جزع
صد ره از رنج صبر افزونست

Ἄσκει μακροθυμίαν ἐν ταῖς συμφοραῖς· εὐάρεστον γὰρ ἡ μακροθυμία τῷ Θεῷ· μὴ φέρε χαλεπῶς τὰ δεινά· τὸ γὰρ χαλεπαίνειν ἑκατοντάκις ἀργαλεώτερον ἢ τὸ μακροθυμεῖν.

43) المسئول حُرّ حتى يَعِد

Ὁ παρακαλούμενος ἐλεύθερός ἐστι μέχρις ἂν ὑπόσχηται.

Τ. ἔ. Ἕως ὁ παρακαλούμενος οὐχ ὑπέσχετο οὐδ' ἐνεχύρασεν αὐτοῦ τὸν λόγον, ἐλεύθερος μένων διατελεῖ. Τὸ τῆς ἐλευθερίας πεῖσμα καὶ ὁ τῆς κρίσεως χαλινὸς ἔτι εἰσὶν αὐτοῦ ἐν ταῖς χερσί. Τελεῖν βουλόμενος τελέσειεν ἄν, ἐᾶν δ', ἐάσειεν. Ἢν δέ ποτ' ἐπαγγείληται, δεδεμένος ἤδη τυγχάνει τῇ τοῦ τελεῖν ἀνάγκῃ. Ἔστι δὲ καὶ ἑτέρα τις παροιμία ταὐτό που λέγουσα الوعد دين = *χρέος ἐστὶν ἡ ἐπαγγελία.*

مرد مسئول کردهد وعده
خویشتن درمقام شك فکند
هست حرّ کر ره وفا سپرد
نیست حرّ کر ره خلاف زند

Ὅστις ὑπισχνεῖται παρακληθεὶς ἀμφιγνοεῖν περὶ ἑαυτοῦ ποιεῖ τοὺς ἀνθρώπους· σπουδαῖος μέν ἐστιν, εἰ φυλάττει τὴν πίστιν, τοὐναντίον δ', εἰ μή.

44) اكبر الاعداء اخفاهم مكيدة

Φοβερώτατός ἐστι τῶν ἐχθρῶν ὁ κάλλιστα τὴν ἐπιβουλὴν ἀποκρύπτων.

حذر از دشمن توآنرا دان
که بظاهر ترا نماید پند
هست ممکن خذر ز دشمن جهر
نیست ممکن حذر ز دشمن سر

Φυλάττου τὸν ἐχθρόν, ὃς ἐν τῷ φανερῷ σοι φιλίαν ἐπιδείκνυσι· φυλάττοιο μὲν ἂν τὸν ἐκ τοῦ ἐμφανοῦς ἀνταγωνιζόμενον, ἀδυνατεῖς δὲ φυλάξασθαι τὸν κεκρυμμένον. Τούτοις ἀνάλογον τὸ παρ' Ὁμ. (Ἰλ. 9,312)·

ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὃς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ·

ἔτι δὲ τὸ ἐπίγραμμα :

μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

45) من طلب ما لا يعنيه فاتَهُ ما يعنيه

Ὁ τὸ μὴ προσῆκον ἐπιζητῶν ἀπόλλυσι τὸ προσῆκον.

آنچه ناید بکار مردرمرا
کی بجستنش هیچ بکراید
فوت کردد زدست او بی شك
آنکه اورا همی بکار آید

Πῶς ἄν βούλοιτό τις ὀρθὰ φρονῶν ἐπιζητεῖν τὸ μὴ χρήσιμον; ἀνάγκη γὰρ πάντως οὕτως ἀποβαλεῖν τὸ χρήσιμον.

Δοκοίη δ' ἄν πως ἀνάλογον εἶναι καὶ τὸ παρ' Ἰσοκράτει τῷ ῥήτορι: *δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ·* καὶ τό: *ζητῶν γὰρ ὄψον θοιμάτιον ἀπώλεσα τῶν ἀρχαίων.*

46) السّامعُ الغيبة احد المغتابَيْن

Ὁ συκοφαντίαν ἡδέως ἀκούων δεύτερός ἐστιν αὐτὸς συκοφάντης.

تاتوانی نخواه غیبت کس
نی که از جدّ و نی که از طیبت
هر که او غیبت کسی شنود
هست همچون کننده غیبت

Ἡ δύνασαι μὴ βούλου ἀκροᾶσθαι τοῦ καταλαλοῦντος εἴτε παίζων εἴτε καὶ σπουδάζων τοῦτο ποιεῖ· ὁ γὰρ καταλαλιᾶς ἀκούων ὅμοιός ἐστι τῷ κακῶς τινα ποιοῦντι.

47) الذلّ مَعَ الطّمع

Ταπείνωσις παρακολουθεῖ τῇ πλεονεξίᾳ.

هر که دارد طمع بمال کسان
تنش در رنج وجانش درجزعست
تاتوانی طمع مکن زیرا
هرچه رنجست جمله درطمعست

Ὁ τῶν ἀλλοτρίων ἐπιθυμῶν ἀλγῶν διατελεῖ τήν τε ψυχὴν καὶ τὸ σῶμα· ἥκιστα,

καθ' ὅσον δύνασαι, πλεονεξίᾳ συνέχου· πάσης γάρ ἐστιν ἀλγηδόνος πλήρης. Διὸ καλῶς ὁ Ἀπόστολος *ῥίζαν πάντων* ἔφησεν εἶναι *τῶν κακῶν τὴν φιλαργυρίαν,* (πρὸς Τιμ. Α 6, 10) *ἐν ᾗ πως ἡ πλεονεξία κορυφοῦται.* Πρβλ. δὲ καὶ τὴν 98ην παροιμίαν.

48) الراحت مع آلياس

Ἡσυχία συμπαροδεύει τῇ δυσελπιστίᾳ.

ناامید در امید بستستی
هرچه رنجست جمله در دل تست
چون برُ یدی امید از کردان
هرچه ان راحتست حاصل تست

Ἐφ' ὅσον ἔχεταί σοι ἐλπίδος ἡ ψυχή, παντοίοις ἔσῃ κατατρυχόμενος ἀλγεσιν· ἀπογνοὺς μέν τοι πᾶσαν ἐλπίδα, τὸ λοιπὸν ἡσυχίαν ἕξεις·—ἀνάλογον δέ πως ἡ παρ' Ἕλλησι παροιμία : *αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν·* ταὐτὸ δὲ νοεῖ καὶ ἡ παρ' Ἀραψιν ἥδε: يأس القلب راحت النفس = *ἡσυχία τῆς ψυχῆς ἡ τῆς καρδίας ἀπόγνωσις* (ثر اللالى 282).

49) الحرمان مَعَ الحرص

Διάψευσις ἐλπίδων ἐφέπεται ταῖς ἐπιθυμίαις.

ای که او حرص مانده شب وروز
باتن مستمند و بادل ریش
از ره حرص دورشو زیرا
هرکجا حرص بیش حرمان بیش

Σύ, ὦ νύκτωρ τε καὶ μεθ' ἡμέραν ψυχὴν καὶ σῶμα ταλαιπωροῦν, ἄπεχε τῆς ἐπιθυμίας· οὗ γάρ ἐστι πλῆθος ἐπιθυμιῶν, ἐκεῖ καὶ πλῆθος ἐψευσμένων ἐλπίδων.

50) من كثر مزاحه لم يجلّ من حقد عليه و استخفّ به

Ὁ σκώπτης ἀναγκαίως ἐφέλκεται μῖσος καὶ περιφρόνησιν.

هر که سازد مزاح پیشه خویش
کر امیراست پاسبان کردد
در همه دیده هاسبك باشد
بر همه سینها کران کردد

Ὁ σκώπτειν εἰθισμένος, κἂν ἡγεμών τις ᾖ, φρονὸς καθίσταται, παντὶ μὲν ἐλαφρὸς ὀφθαλμῷ, παντὶ δὲ στήθει βαρύς. Τ. ἔ. περιφορεῖται μὲν ὑπὸ πάντων, πᾶσι δὲ φορτικός ἐστι.

51) عبد الشهوة اذلّ من عبد الرّقّ

Ὁ δοῦλος ὁ τῆς ἐπιθυμίας ταπεινότερός ἐστιν ἢ ὁ τοῦ ἰδίου κυρίου.

هر که او بنده کشت شهوترا
هست نفس خسیس و طبع لئیم
بنده شهوت است در خواری
بدتراز بنده خریده بسیم

Ὁ τῆς ἐπιθυμίας δοῦλος γενόμενος φαῦλός ἐστι καὶ εὐκαταφρόνητος καὶ τοῦ ἀργυρωνήτου χείρων. Τοσούτῳ δὲ μᾶλλον, ὅσῳ τὸν μὲν ἀργυρώνητον ἀνάγκη τις παρὰ τὴν βούλησιν ἡ τύχη δοῦλον κατέστησεν, ὁ δ' ἑκών τε καὶ προαιρέσει τοιοῦτος γίνεται.

52) الحاسد مغتاظ على من لا ذنب له

Ὁ φθονερὸς ὀργίζεται τῷ ἀθώῳ.

هست مرد حسود خشم آلور
بر کسی کو نکرد هیچ کناه
نعمت خلق دید نتواند
رنجه باشد از اصطناع الاه

Ὁ φθονερὸς ταλαιπωρεῖ τῷ μηδὲν ἀδικήσαντι. οὐ δύναται τοὺς πέλας ὁρᾶν εὐτυχοῦντας, ἀτιᾷ δ' αὐτὸν εὖ ποιῶν ὁ Θεός.

53) كفى با لطف شفيعاً للمذنب

Ἱκανὴ παραίτησις ἡ ἥττα τῷ ἡττηθέντι.

بر کناهکار چون شدی قادر
عفو کن زانکه بی کنه کس نیست

Ἤν ποτε κατακρατήσῃς τοῦ πταίστου, συγγνώμην ἔχε· οὐδεὶς γὰρ ἀνθρώπων ἁμαρτητός ἐστι.

54) ربَّ ساعَ فيما يضرّه

Πολλοὶ θηρῶσι τὸ ἑαυτοῖς ἐπιζήμιον.

ای بساکس که طالب کاریست
که درآن باشدش خذلان
ناصح او شود درآن غمکین
حاسد او شود ازآن شادان

Πολλοὶ τῶν ἀνθρώπων μετιασί τι σφίσιν αὐτοῖς ἐπιζήμιον, ᾧ τοὺς μὲν φίλους ἀνιῶσι, τοῖς δ' ἐχθροῖς ἡδονὴν παρέχουσι.

55) لا تتّكل على المنى فانّها بضائع النّوكى

Μὴ θάρρει ταῖς ἐπιθυμίαις· εἰσὶ γὰρ ἀφορμαὶ τοῖς ἀπλουστέροις.

نکیه بر ارزو مکن که نه هرچ
ارزو باشدت بخشد حق
هر که بر ارزو کند نکیه
بر عاقلان بود احمق

Μὴ οἰκοδόμει ἐπὶ ἐπιθυμιῶν· οὐ γὰρ παρε-

χει σοι πάντα τὸ Θεῖον ὧν ἐπιθυμεῖς· ὁ ταῖς ἐπιθυμίαις ἐποικοδομῶν μωρός ἐστι παρὰ τοῖς σοφοῖς.

56) اليأس حرّ والرّجاء عبد

Τὸ μὲν ἀνέλπιστον ἐλεύθερον, ἡ δ' ἐλπὶς οἰκέτις.

کر بریدی زمردمان توامید
بتن آزادی و بدل شادی
ور بدیشان امید دربستی
دادی ازدست عزّ آزادی

Ἀνέλπιστος γερόμενος τὸ μὲν σῶμα ἐλεύθερος εἶ, τὴν δὲ ψυχὴν εὐφρόσυνος· ἔχων μέντοι τὰς ἐλπίδας ἐπὶ τοῖς ἀνθρώποις ἀπέβαλες τὴν ἐλευθερίαν.

Ὀρθῶς μὲν ἔχει πάνυ τὸ ῥηθὲν καὶ πολλάκις ἐλπίδες διαψευσθεῖσαι πικρᾶς ἐγένοντο τοῖς ἔχουσιν αἴτιον ἀθυμίας· ὅθεν οὐχ ὅλως ἀκόμψως εἴρηται τὸ παρ' Ἰταλοῖς: *chi vive sperando, muore cacando*, οὗ ἀνάλογον τὸ παρ' Ἕλλησιν: *αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν*· οὐ μέντοι δυνατὸν τοῖς ἀνθρώποις ὅλως βιοῦν ἀνελπίστους. κακοδαιμονέστατον γὰρ τὸ ἀνθρώπειον ὃν ἐλπίδι μόνῃ τοῦ ζῆν ἀντέχεται καὶ ἀναψυχῆς τυγχάνον εἰς τὰ πρόσω χωρεῖ. Διὸ οὐδείς ποτ' ἂν ὅλως ἀνέλπιστος γένοιτο τῶν ἀνθρώπων, καὶ καλῶς μὲν εἴρηται τὸ τοῦ ποιητοῦ: *ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες* (Θεοκρ. 4, 42)· καλῶς δὲ καὶ τόδε: *ἀνὴρ ἀτυχῶν σώζεται ταῖς ἐλπίσιν*· ὀρθῶς δὲ καὶ τὰ παρὰ Ῥωμαίοις: *spes alunt exules· spes servat afflictos· aegroto dum anima est, spes est.* ἔτι δὲ τὸ ἐλεγεῖον:

Spes bona dat vires, animum quoque spes [*bona firmat;*
Vivere spe vidi qui moriturus erat.

Οὐκ ἄκομψον δὲ καὶ τὸ παρ' Ὀθωμανοῖς: اميد دنياسی=*ἐλπίδων ἐστὶν ὁ κόσμος.* Ἔστι δὲ καὶ αὐτοῖς ἡμῖν ἐν ἡρωελεγείοις πεποιημένα περὶ ἐλπίδος τάδε:

Τῇδε θεᾷ, μερόπων ὅτε δὴ γένος ἐκπρολιπόντες
Οὐλύμποιο δόμους ἀθάνατοι χρυσέους
ἀθρόοι εἰςανέβησαν, ἐπιχθονίοισι βροτοῖσιν
εὗδε συνναίειν οἴκῃ ἐπουρανίων.
Τῇδε ἔκητι ζώει ὅ τ' ἀγρόφιν ἠελίοιο
βαλλόμενος βέλεσιν δεῦσεν ἰδρῶτι πέδον
ὅς τ' ἐνὶ οἴνοπι πόντῳ ἀλοὺς ἀνίμοιο βίῃφιν
οὐδαμοῦ εἰσοράᾳ γαῖαν, ὁ δ' αὖ μεγάλοις
κύμασιν Ὠκεανοῖο τινάσσεται, ἔστε μὲν εἶλε
κυάνεος πότμος χερσὶν ἀμυνόμενον.

Ἐν δεσμοῖς τις ἐὼν ἀχέων λύσιν οἴετ' ὀπίσσω
ἔσσεσθαι χαλεπῶν, ἐλπίδι πειθόμενος,
χρησμοσύνην δέ τις ἄλλος ὀδυρόμενος στονόεσσαν
παύσεσθαι στύγερῆς ἐλπίδ' ἔχει πενίης.
Πολλάκι καὶ νούσοισι δαμέντα τιν' ἀργαλέῃσιν,
ὕστατον ἰητρῶν, οὐ λίπεν, ἀπτομένων.

Τούτων δ' ἀνάλογον καὶ τὸ παρ' Ἰταλοῖς: *in fin che v' è fiato v' è speranza.*

57) ظنّ العاقل كهانة

Μαντεία τίς ἐστιν ἡ τοῦ νοῦν ἔχοντος αἴσθησις.

هر اشارت كه مرد عاقل كرد
بر اشارت او مزيد نجدی
ظنّ عقل بود بر كاری
در اصابت چوحكم اختر كوی

Μὴ ζήτει συμβουλὴν παρὰ τὴν ἐξ ἀνδρὸς νοῦν ἔχοντός σοι δοθεῖσαν· τοῦ γὰρ ἀληθοῦς ὁ τοιοῦτος ἐν παντὶ στοχάζεται καθάπερ ὁ διὰ τῶν ἄστρων μαντευόμενος.

58) من نظر اعتبر

Ὁ θεασάμενος καὶ ἠγάσατο.

مرد دركار هاچوكرد نظر
بره اعتبار از آن برداشت
هرچه ان سودمند بودبكرفت
هرچه نا سودمند بودبگذاشت

Ὁ τὰ ἐν τῷ κόσμῳ παρατηρῶν φρονιμώτερος ἑαυτοῦ καθίσταται, ὥστε λαμβάνειν μὲν ἐξ αὐτοῦ τὰ χρήσιμα, χαίρειν δ' ἐᾶν τὰ ραρτία.

59) العداوة شغل شاغل

Κατακρατεῖ τῆς ψυχῆς ἡ ἔχθρα.

هر كه پيشه كند عداوت خلق
از همه خيرها جدا كردد
كه دلش خسته غنا كردد
كه تنش بسته بلا كردد

Ὁ τοὺς ἀνθρώπους ἐχθαίρειν ἐγνωκὼς ἀγαθοῦ παντὸς ἄμοιρος καθίσταται· τοτὲ μὲν ἀνία τὴν ψυχὴν αὐτῷ βιβρώσκει, τοτὲ δὲ ταλαιπωρία τὸ σῶμα.

60) القلب اذا اكره عمى

Τυφλοῖ τὸν νοῦν ὁ βιαζόμενος αὐτόν.

Ἡ ἀραβιστὶ ἑρμηνεία: القلب اذا اكره على معرفة علم حدث منه الملال و ظهر فيه الكلال وفسد منه النظر وذهب عنه البصر حتى لايعلم مايعلم و لايفهم مايفهم = *ἐπειδάν τις βιάσηται τὸν νοῦν εἰς ἐπιστήμην, ἀηδίαν οὕτως αὐτῷ περιποιεῖ καὶ ἀμβλύτητα, ὥστε μὴ μανθάνειν μὲν ἃ διδάσκεται (μανθάνει), μὴ συνιέναι δ' ἃ συνίησι.*

بستم دل بسوی علم مبر
كان ستم آتش دل افروزد
هيچ خاطر اكرچه تيز بود
بستم هيچ علم نياموزد

Μὴ βίᾳ τὸν νοῦν εἰς τὴν ἐπιστήμην εἴσαγε· αὐξεις γὰρ οὕτως αὐτῇ τὴν φλόγα (τ. ἔ. ἐπανίστης αὐτόν)· *οὐδὲ γὰρ ἂν ὁ ἄριστος νοῦς μανθάνοι τι βίᾳ.*

61) الادب صورة العقل

Εἰκὼν ἐστι τοῦ νοῦ τὸ κόσμιον.

با ادب باش درهمه احوال
كه ادب نام نيكرا سبب است
عاقل آنست كه ادب دارد
نيست عاقل كسی كه بی ادب است

Κόσμιος ἐν πᾶσιν ἔσο· τὸ γὰρ εὔσχημον εὐκλείας αἴτιον· ἔχει νοῦν ὁ κόσμιος, ἀλλ' οὐχ ὁ ἀσχημόνων.

62) لاحياء لحريص

Ἀναίσχυντος ὁ πλεονέκτης.

Ἀρ. ἐρω.: من استولى عليه الحرص ذهب عن عينه الماء = *ὁ πλεονεξίᾳ συνεχόμενος ἀπόλλυσι μὲν τὸ τῶν ὀμμάτων λαμπρόν, ἀναίσχυντος δὲ τὴν ὄψιν καθίσταται.*

هر كه باشد حريص بر چيزی
نايد اورا زجستن او شرم
برود از نهاد او خجلت
بشود از سرشت او آزرم

Ὁ σφοδρῶς τινος ἐρέμενος οὐκ αἰσχύνεται τοῦτο ζητῶν· ἐκ μὲν αὐτοῦ τῆς καρδίας ἀφίπταται ἡ αἰδώς, ἀπὸ δὲ τῆς ψυχῆς τὸ εὐαίσθητον.

63) من لانت اسافله صلبت اعاليه

Ὦ οἱ ἧσσονες (οἱ συλλήπτορες) *ἐπιεικεῖς, βαρεῖς οἱ κρείττονες.*

هر كه باشد ضعيف اتباعش
دركف اقويا بود مقهور
نشود بی متابعان هركز
هيچ كس در منازعان منصور

Ὦ οἱ παραστάται καὶ συμπράκτορες ἀσθενεῖς, ὑπὸ τῶν ἰσχυροτέρων κρατεῖται· οὐδέποτ' ἄν τις ἄνευ συλλητόρων περιγένοιτο τῶν ἐναντίων.

Τούτοις ἀνάλογα πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ τὸ τοῦ Εὐριπίδου: *μιᾶς χειρὸς ἀσθενὴς*

ἡ μάχη, καὶ τό: *πλειόνων ἔργον ἄμεινον*. Ἔτι δὲ τὸ τοῦ Πινδάρου: *ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι* (Ὀλυμπ. VI, 100, 101) καὶ τὸ ῥωμ. *ne Hercules quidem adversus duos.*

64) من أبى فى عجانه قلّ جيأه وبذو لسانه

Ὁ τὴν ὥραν οὐ καλῶς διατιθέμενος αὐτός τ' ἀναίσχυντος γίγνεται καὶ τὴν γλῶσσαν αἰσχρολόγος.

هر كرا وقت كودكی بودست
پيشه در زير مردمان خفتن
شرم او رفته باشد و هركز
ناید از لطف او نكو كفتن

Ὁ οὐκ ἐλευθερίως ἐν ὥρᾳ τῷ σώματι χρησάμενος ἀποβέβληκε μὲν τὴν αἰσχύνην, οὐδέποτε δ' ἐξ ἡμερότητος ἀγαθόν τι λέγει.

65) السّعيد من وُعِظَ بغيره

Μακάριος ὁ δι' ἑτέρων ἑαυτὸν διορθούμενος.

نيك بخت ان كسی بود كه دلش
آنچه نيكی دروست بپذيرد
ديكرانرا چو پند داده شود
او از ان پند بهره بر كيرد

Μακάριος ᾧ ὁ νοῦς ἐξιδιοῦται τὸ ἐν ᾧ ἀγαθόν τι, καὶ ὃς ἀποχρῆται ταῖς ἑτέρους δεδομέναις παραινέσεσιν.

66) الحكمة ضالّة المؤمن

Ἡ σοφία τὸ πλανηθέν ἐστι τοῦ πιστοῦ πρόβατον.

هر كه چيز نفيس كم شودش
بسته دارد بجستنش همت
جان ان كس كه مؤمن پاك است
هم بدان سان طلب كند حكمت

Ὁ τιμαλφές τι ἀποβαλὼν ἐπὶ τὴν τούτου ζήτησιν ὅλος ὁρμᾷ· τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ δόκιμος πιστὸς μεταδιώκει τὴν σοφίαν.

67) الشرّ جامع المساوع

Ἐν τῇ ἀδικίᾳ πᾶσα συλλήβδην ἐστὶ κακία.

تاتوانی مكرد كرد بدی
كر ترا هست طينت طاهر
كز بدی فضل توشود پنهان
وز بدی عيب توشود ظاهر

Εἰ χρηστὸς εἶ, μηδὲν εἰς ὅσον δύνασαι, ποίει τοὺς πέλας κακόν· ἁμαυροῖ μὲν γάρ σοι τοῦτο τὴν ἀρετήν, ἐμφανῆ δὲ καθίστησι τὴν κακίαν. Παράβαλε τὸ Θεόγνιδος στ. 147;

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή' στι,
πᾶς δὲ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

Διὸ δικαίως τελείαν εἶναι φησὶ τὴν δικαιοσύνην ἀρετὴν ὁ φιλόσοφος, καὶ πολλάκις κρατίστην εἶναι δοκεῖν τῶν ἀρετῶν, οὔτε δ' ἔσπερον οὔθ' ἑῷον οὕτως εἶναι θαυμαστὸν (Ηθ. Νικομαχ. V).

68) كثرة الوفاق نفاق و كثرة الخلاف شقاق

Τὸ μὲν πολὺ τῆς καταφάσεως ὑπόκρισίς ἐστι, τὸ δὲ τῆς ἀποφάσεως φιλότεικον.

دروفاق كسان غلو مكنيد
كه از آن تهمت نفاق آيد
وز خلاف مدام دور شويد
كه از آن دشمنی يفزايد

Μὴ τοῖς ἄλλοις ὑπὲρ τὸ μέτρον ὁμολόγει· ὑποκρίσεως γὰρ ὑπόροιαν τοῦτο παρέχει· μηδ' ἀντίλεγε συνεχῶς· αὐξητικὸν γὰρ δυσμενείας τὸ τοιοῦτον.

69) ربّ امل خائب

Πολλάκις ἐλπίδες ἀποβαίνουσι κεναί.

ای كه بستی اميد درچيزی
غم مخورگر نياوريش بدست
بس اميدا كه ان نكشت وفا
بس شكوفه كه بشكفيد و نيست

Ὅ δι' ἐλπίδος ἐσχηκώς τι, μὴ λυποῦ διαμαρτών· πολλαὶ μὲν γὰρ ἐλπίδες ἤδη ψευδεῖς ἀπεδείχθησαν, ἄρθη δὲ πολλὰ ἀρθήσαντα καρπὸν οὐκ ἤνεγκε. (Πρβλ. παροιμ. 56).

70) ربّ رجأ يؤتى الى الحرمان

Πολλάκις ἐλπίδες εἰς ἀπόγνωσιν φέρουσι.

نی هر آن كو اميد چيز كرد
كسب ان چيز باشدش اسان
بس اميدا كه هست عاقبتش
محنت يأس و آفت حرمان

Οὐ πᾶς ὁ ἐλπίζων ῥᾳδίως τῶν ἐλπιζομένων τυγχάνει· πολλαὶ γοῦν ἐλπίδες εἰς ἀπόγνωσιν ἔληξαν ἀνιαρὰν καὶ δυστυχῆ τὸν ἔχοντα, διαμαρτόντα, κατέστησαν.

71) ربّ ارباح تؤتى الى الخسران

Οὐκ ὀλιγάκις κέρδη ζημίας αἴτια γίγνεται.

ای بسامرد سود جوينده
كه قدم در ره مخوف نهاد
عاقبت چون بدست آمد سود
او ازآن سود در زيان افتاد

Πολλοὶ τινες κέρδους ἕνεκα κινδύνους ἑαυτοὺς ἐκθόντες, τελευτῶντες, ἐπεὶ τοῦ κέρδους ἔτυχον, εἰς ζημίαν ἐκ τούτου περιέστησαν.

72) ربّ طمع كاذب

Ἐπιθυμίαι πολλαί τινες ἀπατηλαὶ τυγχάνουσιν οὖσαι.

در طمع دل نبست بايد هيچ
كه طمع بيشتر دروغ بود
آنچی كان طمع برافزود
كم زخاكسترش فروغ بود

Οὐ δεῖ ταῖς ἐπιθυμίαις εἴκειν· ἀπατηλαὶ γάρ εἰσιν ὡς τὰ πολλά· ὃ δ' ἀναφλέγουσι πῦρ ἧσσον ἐστὶ λαμπρὸν ἢ τέφρα.

73) البغی سائق الى الحَيْن

Ἡ ὕβρις εἰς φθορὰν καθίστησι.

بغی شومست كرد بغی مكرد
بغی نيح حيارا بكند
مردرا از صف بقا ببرد
تا كه اندركف فنا فكند

Ὀλέθριον ἡ ὕβρις· ἀπέχου ταύτης. ἐκριζοῖ μὲν τὴν ζωήν, ἐκ δὲ τοῦ εἶναι τὸν ἄνθρωπον εἰς τὴν ἀπώλειαν μεθίστησι. Διὸ καλῶς ὁ Θέογνις (151):

ὕβριν, Κύρνε, Θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

74) فی كل جرعة شرقة و مع كل اكلة غصّة

Παρτὶ μὲν βρόχθῳ μέμικταί τι τὴν ἀναπνοὴν ταράττον, παρτὶ δὲ ψωμῷ τι καταπῖγον

Ἀρ. ἐρμ. خير الدنيا مختلط بشرّها و نفعها بمرّ
بضرها مع كل فرحة ترحة ومع كل خير خبار ومع كل
حبرة عبرة ومع كل ربح خسار ومع كل صحة علة ومع
كل عزة ذلة ومع كل عشرة عسرة ومع كل منحه محنة

Τὸ μὲν ἀγαθὸν ἐν τῷ κόσμῳ μέμικται τῷ κακῷ, τὸ δ' ὠφέλιμον τῷ βλαβερῷ· διὸ χαρὰ μὲν ἑκάστῃ ἀνία συνῆπται, κραιπάλῃ δὲ καρηβαρία, ἡδονῇ δὲ ἄχρα, κέρδει δὲ ζημία, εὐπραγίᾳ δὲ δυσπραγία, προαγωγῇ δὲ ταπείνωσις, δώρῳ δὲ θείῳ συμφορά.

نيك و بد پيش وكم صلاح وفساد
هست اميخته در اين عالم
هيچ راحت نديدكس بی غم
هيچ شادی نديدكس بی هم

Ἀγαθὸν καὶ κακόν, καὶ κέρδος καὶ ζημία, καὶ ἀρετὴ καὶ κακία μεμιγμέναι τυγχάνουσιν ἐν τῷδε τῷ κόσμῳ. Οὐδεὶς μὲν ἡδονῆς ἀληθόρος ἄτερ ἐγεύσατο, οὐδεὶς δὲ χαρᾶς ἄνευ λύπης.

Ἀνάλογα τούτων ἐθεσπιῴδησαν ἄλλοι τε τῶν ἀρχαίων οὐκ ὀλίγοι καὶ Πίνδαρος εἰπών (Πυθ. III, 81): *ἐν παρ' ἐσθλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάρατοι.* Πρβλ. καὶ τὸ λατ.: *nihil est ab omni parte beatum.* Ταὐτόσημα δὲ καὶ τὰ παρὰ τοῖς Ἄγγλοις: *no sweet without some sweat*, καί: *no gains without pains.* Διὸ καλῶς ὁ Σοφοκλῆς εὐδαίμονας εἶναί φησιν, οἵσι *κακῶν ἄγευστος αἰών.* (Ἀντιγ. 583).

75) من كثر فكره فی العواقب لم يشجع

Ὁ παρὰ πολὺ τὰ ἐπόμενα λογιζόμενος οὐδέποτ' ἂν εὔτολμος εἴη.

Ἀρ. ἐρμ. من اكثر النظر فی عواقب الاحوال و
خواتم الاعمال ذهبت شدته و بطلت حدته فلايحوض
الكرائب ولايروض الكتائب ولايملك ناصية مراده و
لايدرك قاصية مرتاده

Ὁ παρὰ πολὺ τὸ ἀποβησόμενον ἐκ τῶν πράξεων καὶ τῶν ἐπιβολῶν τῶν ἑαυτοῦ λογιζόμενος ἀπόλλυσι μὲν τὴν τῆς ἰσχύος ἀκμήν, ἀπόλλυσι δὲ καὶ τὴν ὁρμήν. Ὅθεν οὔτ' εἰς κινδύνους ἑαυτὸν καθίστησιν οὔτ' ἴλας ἱππέων δύναται περιάγειν, οὔτε τῶν ἰδίων ἐπιλαμβάνεται ποθημάτων, οὔτε τοῦ τέλους ἐφικνεῖται τῶν ἐλπίδων.

هر كه در عاقبت بينی نكرد
بيم دل باشد او و تنك زهره
نه يابد زعز تن حصه
نه بكيرد زكام دل بره

Ὁ παρὰ πολὺ τὴν ἀπόβασιν ἐπισκοπῶν, ἄτολμός ἐστι καὶ δειλός· οὔτε τιμῆς ποτ' ἀξιοῦται παρὰ τῶν ἀνθρώπων οὔτε τῶν ἰδίων ἐφικνεῖται πόθων.

Διὸ καλῶς τὸ παρὰ Ρωμαίοις: *audaces fortuna juvat*, καὶ τὸ παρ' Ἴβηρσιν: *à los osados ajuda la fortuna.*

Πρὸς δὲ τούτοις καὶ τό: *Θαρσεῖν χρὴ τοῦ ποιητοῦ* (Θεοκρ. 4, 41) καὶ τό: *ὡς περ γέφος ὁ καιρὸς παρέρχεται* (الفرصة يمر مر السحاب) τῶν ἀράβων.

76) اذا حلّت المقادير ضلّت التدابير

Τῆς εἱμαρμένης ἐπιστάσης, ἀποπλανῶνται τῶν ἀνθρώπων αἱ βουλαί.

چون قضای خدای عز وجل
بر سرنده شود نازل
هم تقدير او شود باطل

Ὅταν ἡ τοῦ Ὑψίστου βουλὴ ἐπισκήψῃ τῷ δούλῳ, πλανῶνται μὲν αὐτοῦ πάντες οἱ λογισμοί, φροῦδα δὲ πάντα καθίστανται τὰ βουλεύματα.

Τούτοις ἀνάλογον τὸ τῶν ἀράβων: العبد يدبّر والله يقدّر *λογίζεται μὲν ὁ δοῦλος, βουλεύεται δ' ὁ Θεός*, καὶ τὰ τῷ Εὐριπίδῃ τραγῳδιῶν τινων (Ἀλκήστιδος, Ἀνδρομάχης, Βακχῶν, Ἑλένης καὶ Μηδείας) ἐν τέλει ἐν ἀναπαίστοις εἰρημένα:

πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

Ἔτι δὲ τὸ παρὰ ῥωμαίοις: *humana consilia divinitus gubernantur* καὶ τὸ γαλατικόν: *homme propose, mais dieu dispose.* Ταὐτὸ δέ που δηλοῖ καὶ ἡ ἑξῆς:

77) اذا حل القدر بطل الحذر

Ἐπειδὰν ἐπιλάβῃ τὸ χρεών, ἀόρητος ἡ πρόνοια γίγνεται.

چون قضای خدای نازل كشت
تو ز تسليم و صبر ساز پناه
نتوان كرد دفع او بحذر
نتوان بست راه او بسپاه

Ἐπειδὰν ἡ τοῦ Ὑψίστου βουλὴ ἐπιστῇ, παράδος σαυτὸν καὶ χαρτέρει· οὔτε γὰρ ἂν προνοίᾳ ταύτην ἀποτρέψειας οὔτε στρατῷ ποτ' ἀποκωλύσειας.

Παραβάλοις ἂν πρὸς ταῦτα τὸ Σοφόκλειον (Ἀντιγ. 941):

ἀλλ' ἁ μοιριδία τις ὀΐνασις δεινά·
οὔτ' ἄν νυν ὄλβος οὔτ' Ἄρης,
οὐ πύργος οὐχ ἁλίκτυποι
κελαιναὶ ναῦες ἐκφύγοιεν.

78) الاحسان يقطع اللسان

Τὸ εὖ ποιεῖν ἀποτέμνει τὴν γλῶσσαν.

هر كه كردی بجای او احسان
مال دادی و مرد بخريدی
هم ضميرش بهم بدوزی
هم زبانش زهجو بدريدی

Ὅσάκις καλῶς τι' ἐποίησας, χρήματα μὲν ἀνάλωσας, ἄνθρωπον δ' ἐπρίω· τὴν μὲν καρδίαν ἐσφράγισας τὴν ἐκείνου (τοῖς εὐεργετήμασι), τὴν δὲ γλῶσσαν ἀνίκανον κατέστησας σκώπτειν.

79) الشّرف بالفضل والادب لا بالاصل والثّروة

Ἀληθὴς ἐστιν εὐγένεια ἡ ἐκ τῆς ἐπιστήμης καὶ τῆς παιδείας, ἀλλ' οὐχ ἡ ἐκ τοῦ γένους οὐδ' ἡ ἐκ τοῦ πλούτου.

فضل جوی و ادبکه نیست بحق
شرف مرد جز بفضل وادب
مردی فضل وی ادت خُردست
ورچه دارد بزرك اصل و نسب

Ἐπιστήμην θήρευε καὶ παιδείαν· ἐν ταύταις γάρ ἐστιν ἡ εὐγένεια μόναις· ὁ δὲ τούτων ἄμοιρος οὐδενός ἐστιν ἄξιος, κἂν εἰς εὐπατρίδας ἀνάγῃ τὸ γένος.

80) اكرم النسب حسن الخلق

Παιδείας ἄωτόν ἐστι τὸ εὔχαρι.

مرد بدخوی بر همه عالم
بی سبب سال و ماه درغضب است
نیك خوبی کزین که نزد خرد
نیك خوبی شریفتر ادبست

Ἀνὴρ ἀπαίδευτος ἀεὶ φιλόνεικός ἐστι πρὸς πάντας ἄνευ αἰτίου· ἁπροῦ τὸ φιλάνθρωπον· τῆς γὰρ παιδείας ἄωτόν ἐστι παρὰ τοῖς φρονίμοις.

81) اكرم النسب حسن الادب

Ἡ τελεία παίδευσίς ἐστιν ἡ μεγίστη εὐγένεια.

ای که مغرور مانده شب وروز
بزرگی اصل و عز نسب
سوی حسن ادب کرای که هست
نسب بهتر تو حسن ادب

Σὺ, ὦ νύκτωρ καὶ μεθ' ἡμέραν ἐπὶ γέρους λαμπρότητι καὶ περιφανείᾳ προγόνων ἐπαιρόμενε, μέτιθι παιδείαν· ἐν ταύτῃ γὰρ ἡ ἀρίστη ἐστὶν εὐγένεια.

82) افقر الفقر الحمق

Πτωχεία μεγίστη ἐστὶν ἡ ἀφροσύνη.

کر فقیری و نیستی احمق
تا ازان فقر هیچ تندیشی
شکرکن اندراین مقام که نیست
بتر از حمق هیچ درویشی

Εἰ πτωχὸς ὢν τυγχάνεις, ἄφρων δὲ μή, θάρσει τὴν πτωχείαν· μᾶλλον δὲ χάριν ἔχε τῷ Θεῷ τῆς ἀπορίας· πτωχεία γὰρ οὐκ ἔστι τῆς ἀφροσύνης μείζων.

83) اوحش الوحشة العجب

Πάντων χρημάτων βδελυρώτατον ἡ γελαυτία.

Ἔρμ. ἀρ. اذا كان المرء ذا عجب فالناس يستوحشون من صحبته و يستضرّون فی محبته فيبقی فی وحشة الوحدة بلا صديق يحالسه و رفيق يؤانسه

Ἐάν τις φίλαυτος ᾖ, βδελύττονται τὴν ἐκείνου συνουσίαν οἱ ἄνθρωποι καὶ φοβοῦνται μή τι πάθωσιν ἐκ τῆς φιλίας. Ὅθεν ἐρημίᾳ καὶ μονώσει διάγει τὸν βίον ὁ τοιοῦτος, οὐδένα φίλον ἔχων οἰκεῖος αὐτῷ διακείμενον οὐδ' ἑταῖρον κοινωνοῦντα λόγων.

کر ترا پیشه خویشتن بینیست
مردمان از تو مهر بر دارند
پس ترا در مضایق و دهشت
بی جلیس و انیس بگذارند

Εἰ φίλαυτος ὢν τυγχάνεις, ἀφαιροῦνταί σε τὴν εὔνοιαν οἱ ἄνθρωποι καὶ τεθλιμμένον ἐῶσι καὶ μόνον ἄνευ ἑταίρων καὶ συνήθων.

Τὸ μὲν φιλεῖν ἑαυτὸν ἑτέρων μᾶλλον ἐμφυτον ὄν, οὐκ ἂν ἐπίμεμπτον εἴη· διὸ καὶ δικαίως εἶπέ τις τῶν ἀρχαίων:

φιλεῖ δ' ἑαυτοῦ μᾶλλον οὐδεὶς οὐδένα.

Τό γε μὴν περαιτέρω τοῦ μετρίου καὶ πάνυ προσηκόντως κακίζεται καὶ τοῦτ' αὐτὸ φιλαυτία καλεῖται[1].

84) اغنى الغنى العقل

Μέγιστός ἐστιν ὄλβος ἡ φρόνησις.

ای که خواهی توانگری پیوست
تا از ان ره رسی بمهتری
ازخرد جوی مهتری ریراك
نیست همچون خرد توانگری

Ὁ πλοῦτον ἀθροίζειν ἐφιέμενος, ἵν' οὕτω περίδοξος γένῃ, μέτιθι δόξαν τῇ φρονήσει· ταύτῃ γὰρ οὐδείς ἐστι πλοῦτος ἴσος.

85) الطّامع فی ثلّ الذلّ

Ὁ πλεονέκτης ἀδοξίᾳ δεδέσμευται.

تا توانی مکرد کرد طمع
اکر از عقل بهره داری
زانکه پیوسته مردم طمّاع
بسته باشد بر شته خواری

Εἰς ὅσον δυνατόν σοι, τῆς πλεονεξίας ἀπέχου, φρονήσεως εἴ σοι μέτεστιν· ὁ γὰρ πλεονέκτης ἀεὶ τῷ σχοίνῳ τῷ τῆς ἀδοξίας ἐστὶν δεδεμένος.

1) «Ἐπιτιμῶσι τοῖς ἑαυτοὺς μάλιστα ἀγαπῶσι καὶ ὡς ἐν αἰσχρῷ φιλαύτους ἀποκαλοῦσιν». Ἀριστοτ. Ἠθ. Νικομ. 9, 8, 1. Πρβδλ. καὶ Ῥητορ. 1, 12.

86) احذروا نفار النعم فما كل شارد بمردود

Φυλάττεσθε μὴ ὑμᾶς ἀποδρᾷ τἀγαθά. Οὐ γὰρ ἂν τἀποδράντα τις ἀναχομίσαιτο πάντα.

ای که بانعمتی بسیرت بد
نعمت خویشرا زخود مرمان
که نه هرچه رمیده شد زکسی
باز آوردنش بود آسان

Σύ, ὦ εὐδαιμονῶν, μὴ βίῳ μοχθηρῷ τὴν εὐδαιμονίαν ἔασον ἀποπτάσθαι· τὸ γὰρ ἀποπτάμενον οὐκ ἂν τις αὖθις ἕλοι ῥᾳδίως.

87) اكثر مصارع العقول تحت بروق الاطماع

Ὡς τὰ πολλὰ τῶν κεραυνῶν ὁ νοῦς ἡττᾶται τῶν τῆς ὀρέξεως.

Ἔρμ. ἀρ. الطّمع الغالب اذا شدّ على العقل صرعه فی المعركة و اوقعه فی المهلكة

Ἐάν τινος ὄρεξις ὑπερβαλλούσῃ τῇ δυνάμει προσπέσῃ τῷ ῥῷ, καταστρώννυσιν αὐτὸν ἐπὶ τῇ παλαίστρᾳ καὶ εἰς προὔπτον ἐμβάλλει κίνδυνον.

آفت عقل مردم از طمعست
تاتوانی سوی طمع مکرای
چون طمع دستبرد بنماید
عقل مردم در اوفتد از جای

Αἴτιον τῇ φρονήσει τῆς φθορᾶς ἡ ἐπιθυμία· διόπερ, ἢ δυνατόν, ἀπέχου ταύτης· ἢν γάρ ποτ' ἐκτικήσῃ, εἰς ὄλεθρον ὁ νοῦς ἐμπεσεῖται.

88) من ابدى صفحته الحق ملك

Εὐδαίμων ὅστις εἶκει τῇ ἀληθείᾳ.

هر که بر حق بود بهر دو جهان
حاصل آید بجملکی اغراض
باد در ورطه هلاك افتد
ان که از راه حق کند اعراض

Ὁ τῆς ἀληθείας ἐχόμενος πάντων ὧν ὑπὲρ ἀμφοῖν ἐφίεται τοῖν αἰώροιν ἐφικνεῖται· τοὐναντίον δ' εἰς τὸ τῆς ἀπωλείας ἐμπίπτει βάραθρον ὁ τῆς ὁδοῦ τῆς ἀληθείας ἀποτρεπόμενος.

89) اذا املقتم فتاجروا الله بالصدقه

Ἐάν ποτ' εἰς ἀπορίαν καταστῆτε, ἐπιμιξίᾳ χρήσασθε πρὸς τὸν θεόν, τῷ δεομένῳ διδόντες.

Ἔρμ. ἀρ. الصدقة سبب زيادة المال و سعادة الحال و من تاجر الله بالصدقة نال الغنيمه و حاز البغية

=τὸ τοὺς ἀπόρους εὖ ποιεῖν ἐπίδοσιν μὲν τοῖς ἀγαθοῖς παρασκευάζει, τὸ δὲ τῆς τύχης εὐμενὲς καθίστησιν. Ὅθεν ὁ τῷ διδόναι τοῖς ἀπόροις ἐπιμιγνὺς τῷ θεῷ, τυγχάνει μὲν οὐσίας ἐπαρκοῦς, ἐφικνεῖται δ' ὧν ἐφίεται.

هیچ چیزی مدان توچون صدقة
هست از و مال و جاهرا بیسی
او رساند بناز استغنا
او رهاند زرنج درویشی

Οὐδὲν ἰσότιμον εἶναι νόμιζε ταῖς εὐεργεσίαις· αὐξάνουσι μὲν (γὰρ) τὴν οὐσίαν καὶ τὴν τιμήν, εἰσάγουσι δ' εἰς εὐεστὼ γλυκεῖαν, ὀδυνηρᾶς δ' ἀπαλλάττουσι περίας.

90) من لان عوده كثف اغصانه

Ὅστις ἐξ ἄγαν ἁπαλοῦ πεποίηται ξύλον, τούτῳ (ῥᾳδίως) οἱ ἀκρέμονες ἀποσπῶνται.

هر که باکهتران کند نرمی
ماند اندر بلیّت ایشان
نتهندش براستی کردن
نبرندش بواجبی فرمان

Ὅστις ἄγαν ἐστὶ τοῖς ὑποτεταγμένοις πρὸς εἰς ἀπορίαν ἀεὶ καθίσταται. Οὔτε κλίνουσιν, ὡς ἐπιεικές, αὐτῷ τὸν αὐχένα (τ. ἔ. ὑπακούουσιν), οὔτε τὰ προσταχθέντα ποιοῦσιν.

91) قلب الاحمق فی فيه

Ὁ τοῦ ἄφρονος νοῦς ἐνοικεῖ τῷ στόματι.

هر که اوهست با حماقت جفت
جایکاه دلش زبان وی است
هرچه دارد زنیك و بد در دل
آن همه بر سر زبان وی است

Ὦ σύντροφος ἡ ἀφροσύνη, τούτῳ τῆς καρδίας οἰκητήριον ἡ γλῶσσα. Ὅ τι δὲ δήποτ' ἐν τῇ καρδίᾳ φέρει, ἐπὶ τῆς γλώσσης ἔστιν ἄκρας.

Ἐπεὶ δ' ἡ μέθη τοὺς ἀνθρώπους ἄφρονας ἐπ' ὀλίγον καθίστησιν, εὔκαιρον ἐνταῦθα παραθεῖναι τό τε Πλουτάρχειον (ἐν τῷ περὶ Ἀδολεσχίας): *τὸ ἐν καρδίᾳ τοῦ ῥήφορτος ἐπὶ τῆς γλώσσης ἐστὶ τοῦ μεθύοντος, καὶ τὸ Ἡροδότειον: οἴνου κατιόντος ἐπιπλέουσιν ἔπη.*

92) لسان العاقل فی قلبه

Ὁ φρόνιμος ἐν τῇ καρδίᾳ τὴν γλῶσσαν ἔχει.

هر که راهست باکمال خرد
هست پنهان زبان او در دل
نشود هیچ سرّ او پیدا
نشود هیچ کفت او باطل

Ὁ τέλειος τὸν νοῦν ἐν τῇ καρδίᾳ τὴν γλῶσσαν ἀποκρύπτει· οὐδὲν μὲν αὐτοῦ τῶν ἀπορρήτων καθίστησι δῆλον, οὐδὲν δὲ λέγει κενὸν ἢ μάταιον.

Ταὐτά που νοεῖ καὶ ἡ κάτωθεν ἐνενηκοστὴ ἑνάτη παροιμία.

93) من جری فی عنان امله عثر باجله

Ὁ ἐπ' ἐλπίδος ὀχούμενος εἰς ἀπώλειαν ἑαυτὸν ἀφήσει.

در همه کارها بکفت هوا
هر که بدهد عنان بدست امل
زود باشد که آن امل ناکاه
اندر اندازدش بچاه اجل

Ὅστις ἐν πᾶσι ταῖς ἐπιθυμίαις εἶκων τῇ ἐλπίδι (τοῦ βίου) τὰς ἡνίας παραδίδωσιν, ἐξαίφνης ἂν εἰς τὸ τῆς ἐξωλείας ἐπ' ἐκείνης ἐμπέσοι βάραθρον.

Ἴδε τὰ ἀνωτέρω περὶ τῆς ἐλπίδος εἰς τὴν 56ην παροιμίαν σεσημειωμένα.

94) اذا وصلت الیکم اطراف النعم فلا تنفروا
اقصاها بقلة الشکر

Ἐάν ποτ' ἀφίκηται πρὸς ἡμᾶς τῶν θείων εὐεργετημάτων τὰ ἔμπροσθεν, μὴ ἀπωθείσθε τῇ ἀχαριστίᾳ τὰ ὄπισθεν.

چون بیابی تو نعمتی ورچند
خرد باشد چو نقطه موهوم
شکر آن یافته فرو مگذار
که ز نایافته شوی محروم

Εὐεργετήματος παρὰ θεοῦ τυχών, κἂν ἐλάχιστον ὅσον σημεῖον ἢ φανταστόν, μὴ διάλειπε τοῦτον χάριν ἔχων· ἄλλως γὰρ ἀπολεῖς οὐ μήπω τετύχηκας.

95) اذا قدرت علی عدوّک فاجعل العفو عنه
شکراً للقدرة علیه

